


Sancti

GREGORII NAZIANZENI IN IVLIANVM INVECTIVÆ DVÆ.

Cum Scholiis Græcis nunc primùm editis, & ejusdem Authoris nonnullis aliis quorum syllabum sequens Pag. continet.


Omnia, ex Bibliothecâ Clarissimi viri D. HENRICI SAVILII, Edidit *R. Montagu.*



ETONAE, *in Collegio Regali,*
Excudebat *Joannes Norton*, in Græcis, &c.
Regius Typographus.
1610.



Syllabus eorum quæ hoc Libro continentur.



REVERENDISSIMO IN CHRISTO PATRI AC DOMINO,

Domino RICHARDO, Cantuarienſi Archiepiſcopo, totius Angliæ Primati, & Metropolitano.



Ntiquorum Eccleſiæ Patrum ſcripta (quod tu minimè ignoras Reverendiſſime Pater) multùm intererit Rei Chriſtianæ, quàm emendatiſſima circumferri. Nam, & οἱ ἐξ ἐναντίας, Patres crepant, ut juratos in cauſam ſuam teſtes, & ad Patres, ut ad ſupremum tribunal, ſemper, in omni quæſtione ſolent provocare: & nos libenter in controverſis dogmatibus, eos facilè admittimus diribitores. Nam ſunt Religionis Chriſtianæ Proceres, Doctrinæ revelatæ Promi-condi, quam ab Apoſtolis derivatam, perpetuâ praxi confirmatam ad noſtra uſque tempora tranſmiſerunt. Quocircà, rem ipſis glorioſam, Deo procurant perplacentem, Reipub. utilem & communi cauſæ, qui in evolvendis Patrum ſcriptis, atque illis emaculandis, & nunc & olim deſudarunt.

¶ 2 Quo

Quo quidem in genere prima laus debetur, Illustrissimo & doctissimo D. Savilio, qui summâ fide & diligentia, labore etiam indefesso, Chrysostomi scripta, quotquot haberi possunt Græcè, innumeris in locis correxit, supplevit, elucidavit. Confidenter dico, Reverendissime Domine, post inventam Typographiam, nemo veterum aut recentium scriptorum, tanta fide & religione, tàm emaculatè, in manus hominum prodiit, quàm prodibit apud nos ὁ χρυσορρήμων. Interim verò, dum urgetur opus, quod ad tertium jam processit Tom. εἰ σὺν Θεῷ εἰπεῖν, ad septimum procedet aut octavum, præludit illi Nazianzenus, mellitissimo scriptori Orator vehemens, & Græcorum Patrum μεγαλοφωνότατος. Sic enim solent οἱ ἑστιάτορες, convivas bellariis invitare, dum lautiores epulæ apparantur. Præludit quidem, nec injuriâ: fuerat in Episcopatu Antecessor qui est ad vulgus Anteambulo. Nec id ferendum videri possit, ut è duobus Episcopis Constantinopolitanis, alter ornatus sic, & excultus abeat, alter in squalore despectus jaceat. Annò ediderunt Nazianzenum Parisienses Latino-Græcum, sed nec integrum, & plurimis mendis, per summam negligentiam deformatum. Actum, quod dicitur, noluimus agere, at castigationes valdè necessarias, ex multis membranis collectas in omnes Orationes edimus & Epistolas, quibus Augiæ stabulum purgavimus, & Gregorio nitorem restituimus. Prætermissa nonnulla supplevimus, adhuc publicè non visa: & illas in Iulianum Invectivas, inter omnes Orationes κορυφαιοτάτας, quà a Nonno, quà a scholiaste vetere & erudito ornatiores, quà a mendis innumeris correctiores multò quam antè fuerant, emittimus. Hoc quicquid est opellæ, Reverendissime Pater, sub tuo nomine, sub tuis auspiciis in lucem prodit. Nam si quid in hoc genere elaboratur, videris tibi jure vindicare, cui nos,

qui

qui sumus ἱερατικοῦ βήματος (cum ipso loquor Nazianzeno) nos & nostra comprobare κατὰ μεγάλην ἐντολήν obligamur. Deindè, videbatur consentaneum, ut ad Archipræsulem festinet Archiepiscopus, Gregorius, dicam liberè, ad Gregorium. Quod si & locum in illo tuo φροντιστηρίῳ, instructissimâ quam adornas bibliothecâ, Nazianzenus hic noster sortiatur, nec illum pudebit ab homine novo transiisse, nec hunc in posterum pœnitebit, se suosq; labores in hac parte Ecclesiæ consecrare. Quod superest, ὁ μέγας μητροπολίτης, & magnus totius orbis Patriarcha, unigenitus Dei Iesus Christus, vestram, Reverendissime, paternitatem, diutissimè Ecclesiæ, & bonis omnibus conservet & tueatur.

Reverendissimæ v: paternitati

humiliter deditissimus

Richardus Montagu.



AD LECTOREM.




Nvectivas hasce duas Orationes, τὴν τοῦ Ἰουλιανοῦ πολιτείαν στηλιτευούσας, tibi, mi Lector, sejunctim Græcè, cum Scholiis Græcis, & nonnullis ejusdem Gregorii ἀνεκδότοις exhibemus. Nam cùm Nazianzeni Opera revocari sub prælo correctiora, & studiosis conduceret & Authori, quod & illa editio Basileensis depravatissimè prodiisset, atque etiam distractis exemplaribus apud officinas non prostaret amplius: D. Savilius, ὁ πάνυ, ut est de Literis optimè meritus, de editione ceperat cogitare. Et quidem post Chrysostomum τὸν πολυγραφώτατον, quem magnis impensis per omnes bibliothecas perquisitum, ad tertium jam Tomum subjecit prælo, ad hanc provinciam exornandam undiquàque acciverat adjumenta: sed intervenit hæc cogitanti editio nupera Latino-Græca, a Parisiensibus Typographis specioso frontispicio lemniscata: qui nihil minus præstant quàm pollicentur. habebant fortassè, habere sanè poterant, Regios, Regineos, Petavii libros: Syrleti, Thuani, Vaquerii codices, sed, ut ille Epicteti lucernam, ad ostentationem non ad usum, quippè qui magis deformarunt Gregorium, quam fuerat in editione primâ. Hinc tibi, mi Lector, intercisum, de edendo Gregorio, consilium prius. nè tamen possis carere penitus quibus nequit carere Nazianzenus, visum est clarissimo illi viro, Hæc, quæ nunc damus communicare. qui, quo me solet amore prosequi, ad hanc vicariam ipsi locandam operam imparem oneri, & imparatum protraxit. Quocirca ut scias quid præstitum sit a nobis in hâc istorum ἀποσπασμάτων ἐκδόσει, textum Nazianzeni Græcum, cum variis collatum manuscriptis, quàm possumus emendatissimum exhibemus, scholia adjunximus non inutilia, de Cod. descripta pervetusto Collegii Beatæ Mariæ Magdalenæ in Acad. Oxon. Nonnum huic scholiastæ quem adjunximus, τὸν ἐξηγητὴν, καὶ τὴν ἱστοριῶν συναγωγὴν suppeditavit Cæsarea Viennensis bibliotheca, ex scriptore diligentissimo Samuele Slado. aberrant interdùm uterque fateor, alicubi sunt manifestè corrupti; sed de iis solliciti noluimus esse, tantùm contenti τὰ ἀπόγραφα fideliter ubique expressisse, cætera erudito Lectori permittimus. De Epistolis & Oratione ἀνεκδότοις, & de Testamento correctiùs edito, in loco diximus ad Notas. Iam verò quas damus Castigationes in Orat. Epist. &

ipsius

ipsius vitam, de variis συνηγμένων manuscript. quas per literas initiales in singulis pag. designamus : *R.* notat cod. Reginæ matris Mediceum è bibliothecâ illâ ἀξιολόγῳ. *P.* varietatem lectionum, quas olim doctissimus Ia. Billius, ad sui libri marginem annotaverat, ex Italicis & Gallicis exemplaribus, qui liber nunc est Pauli Petavii Senatoris Parisiensis. *Syrl.* optimæ notæ M.S. a G. Syrleto Cardinale apud Petavium in libro Billii. *Tr.* denotat Cod. satis vetustum Collegii sanctæ Trinitatis in Oxon. Academiâ, quem ad librum, ipse D. Savilius, XVI. illas Orat. exegerat, in quas scripsit Nicetas Commentator. Porrò vir doctissimus Richardus Thomson, & Augustinus Lindsel amicissimus, suas huc symbolas contulerunt. hic enim Castigationes Iulii Gabrielii, ad omnes Ep. & Orat. è Vaticanis membranis ad me misit, editas illas apud Plantinum, sed Parisiensibus non visas : atque is est liber quem vocamus G. ille autem suum Cod. communicavit, cum scriptis collatum in Italiâ : atque is est quem per *Th.* intelligimus. *Ox.* notat membranas Magdalenenses, 32 Orationes, & Scholia perpetua continentes. *Pal.* illum Palatinæ bibliothecæ Cod. quem vir eruditus P. Fleckmannus citat, ad illam Gregorii εἰς Ἀθανάσιον. *Bas.* est editio Basileensis : *Bill.* interpres Iacobus Billius : *El.* interpres Elias Cretensis. *Sch.* notat Schedas ab Andrea Schotto : & *Bod.* Codicem, sanè memorabilem, bibliothecæ Bodleianæ Oxon. nam & omnes Nazianzeni Epistolas habet, prius editas, & quas primi damus : & prætereà Basilii aliquot Decadas, omnes adhuc ἀνεκδότους, quas hinc descriptas habemus nos. Has autem Lectiones & Castigationes concinnavi ad Parisiensem editionem, illius methodum in Orationibus, Orationum paginis, Paginarum numeris sic sequutus, ut utrosque libros comparanti non sit difficile κατὰ πόδα sequi. tu autem his Lector, utere, fruere, ad tuam utilitatem comparatis.

Vale.



ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ
ΒΑΣΙΛΕΩΣ [a] ΣΤΗΛΙΤΕΥ-
τικὸς πρῶτος.



ΑΚΟΥΣΑΤΕ ταῦτα, πάντα τὰ ἔθνη· [b] ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. καλῶ γὰρ ἅπαντας, ὥσπερ ἐξ ἀπόπτου τινὸς καὶ μεσαιτάτης [c] περιωπῆς, μεγάλῳ καὶ ὑψηλῷ τῷ κηρύγματι. ἀκούσατε λαοί, φυλαί, γλῶσσαι, πᾶν γένος ἀνθρώπων καὶ ἡλικία πᾶσα, ὅσοι τε νῦν ἐστε, καὶ ὅσοι [d] γενήσεσθε· καὶ, ἵν' ᾖ μοι μεῖζον τὸ κήρυγμα, πᾶσα [e] δύναμις τῶν οὐρανῶν, πάντες ἄγγελοι, οἷς ἔργον ἡ τοῦ τυράννου κατάλυσις, οὐ τὸν Σηὼν καθελοῦσι τὸν βασιλέα τῶν Ἀμορραίων, οὐδὲ τὸν Ὢγ βασιλέα τῆς Βασάν, μικροὺς Ψαλ. μη. α.

γρ. οὐρανίων,

---

[a] στηλιτευτικὸς] Ὁ στηλιτευτικὸς οὗτος λόγος, ψόγος ἐστὶ τῶν Ἰουλιανῷ πεπραγμένων. διαφέρει δὲ ψόγος στηλιτευτικοῦ, ὅτι ὁ μὲν ψόγος διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται, οἷον γένους, ἀναστροφῆς, πράξεων, συγκρίσεως· ὁ δὲ στηλιτευτικὸς διὰ τῶν πράξεων μόνον· εἰ τύχοι δὲ, καὶ συγκρίσεως. στηλιτευτικὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῆς στήλης. στήλη δέ ἐστι λίθος ἢ χαλκὸς ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾧ ἐγγέγραπται αἱ τοῦ στηλιτευομένου ὕβρεις. εἰδέναι δὲ χρὴ ὅτι πολλάκις εὐεργεσίαι ταῖς στήλαις ἐνεγράφοντο. [b] ἐνωτίσασθε] ἐν τοῖς ὠσὶ θέσθε. [c] περιωπῆς] περιωπή ἐστι τόπος ὑψηλός. εἴρηται δὲ ἀπὸ τοῦ περιωπῶς ὁρᾶν ἐκεῖθεν. ὢψ γὰρ ποιητικῶς ὁ ὀφθαλμός· καὶ τὸ ἄποπτον δὲ ἀπὸ τοῦ ἀφορᾶν εἴρηται. καλῶ γοῦν ἅπαντας, φησίν, ἔκ τινος ὑψηλοῦ καὶ μεσαιτάτου τόπου πολὺ τὸ ἀφορᾶν τοῖς καλουμένοις ἐμοὶ παρέχοντος. [d] γενήσεσθε·] οὐχ ὅτι νῦν ἀκούουσιν οἱ γενησόμενοι. πῶς γάρ; ἀλλ' ὅτι καὶ αὐτοὶ ὕστερον ἀκούσονται τῶν λόγων ἐντυγχάνοντες, ὥσπερ καὶ ἡμεῖς οἱ νῦν ἐν τῷ κόσμῳ τούτῳ διάγοντες. [e] δύναμις] ἀκούσατε καὶ ὑμεῖς.

δυνάστας, καὶ μικρὸν μέρος τῆς οἰκουμένης κακοῦντας τὸν Ἰσραήλ; ἀλλὰ τὸν [f] δράκοντα, τὸν ἀποστάτην, τὸν νοῦν τὸν μέγαν, τὸν Ἀσσύριον, γρ. τὸν Ἀσσυρίων
Ψαλ. οβ. θ. τὸν κοινὸν ἁπάντων ἐχθρὸν καὶ πολέμιον, τὸν πολλὰ μὲν ἐπὶ γῆς μανέντα καὶ ἀπειλήσαντα, πολλὴν δὲ ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντά
Ησ. α. β. τε καὶ μελετήσαντα. ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ (χρήσομαι γάρ μοι ταὐτὰ τῷ μεγαλοφωνοτάτῳ τῶν προφητῶν Ἡσαΐᾳ συμφθέγξασθαι· γρ. συμφθέγξασθαι πλὴν ἴσον μὲν ἐπὶ τῷ Ἰσραὴλ ἀθετήσαντι [g] ταῦτα καλεῖ καὶ μαρτύρεται, ἐγὼ δὲ ἐπὶ τυράννῳ καὶ ἀθετήσαντι, καὶ πεσόντι πτῶμα τῆς ἀσεβείας ἄξιον) ἄκουε καὶ ἡ τοῦ μεγάλου [h] Κωνσταντίου ψυχὴ (εἴ τις [i] αἴσθησις) ὅσαι τε περὶ αὐτοῦ βασιλέων φιλόχριστοι, [k] τοῦ δὲ καὶ πάντων μάλιστα, ὅσῳ τῇ Χριστοῦ κληρονομίᾳ συναυξηθεὶς, γρ. ἐκκλησίᾳ καὶ αὐξήσας ταύτην εἰς δύναμιν καὶ χρόνῳ [l] βεβαιωσάμενος, ὥστε καὶ πάντων διὰ τοῦτο γενέσθαι τῶν πώποτε βασιλέων ὀνομαστότατος ([m] ὢ τῆς ἐπηρείας) ἀγνόημα ἠγνόησε σφόδρα τῆς οἰκείας εὐσεβείας ἀνάξιον· ἔλαθεν [n] ἐπιτρέφων Χριστιανοῖς τὸν Χριστοῦ πολέμιον, καὶ τοῦτο μόνον τῶν ἁπάντων οὐ καλῶς ἐφιλανθρωπεύσατο, καὶ σῶσαι καὶ [o] βασιλεῦσαι τὸν κακῶς καὶ σωθέντα καὶ βασιλεύσαντα. καὶ διὰ τοῦτο μάλιστα ἂν [p] ἡσθείη, ὥσπερ τῇ καταλύσει τῆς ἀσεβείας, καὶ τοῖς Χριστιανῶν πράγμασιν εἰς

---

[f] δράκοντα] κατηλεῦσι, ἀπὸ τοῦ κοινοῦ. [g] ταῦτα] τὸν οὐρανὸν καὶ τὴν γῆν. [h] Κωνσταντίου] σημείωσον πῶς ἐν ὅλῳ τῷ στηλιτευτικῷ καλῶς μέμνηται Κωνσταντίου τοῦ βασιλέως· οὐδὲ ἐν τοῖς ἄλλοις μὲν αὐτοῦ κακίαν αὐτῷ μαρτυρῶν, ἀλλ' ἁπλότητα μᾶλλον καὶ κουφότητα· ἐνταῦθα δὲ καὶ σαφῶς ἐπαινῶν. καὶ μὴ θαυμάσῃς. ὁ γὰρ κατὰ τοῦ εἰδωλολάτρου ζῆλος διήλλαττεν αὐτὸν ὁλοτελῶς, καὶ φίλον ἐποίει γνήσιον τὸν οὐ κατὰ κακίαν, ὡς αὐτός που φησιν, ἀλλὰ διὰ συνηθείας λελυπηκότων· ἐπεὶ καὶ τὸ ἄλλο ἦθος τοῦ πατρὸς τοιοῦτον, ἐν τῷ ὑπερβάλλοντι κακῷ συγγινώσκειν τοῖς μικρότερον ἀγνοοῦσιν. ἀνάγνωθι αὐτοῦ τὸν εἰρηνικὸν, καὶ πάλιν τὸν πρὸς Εὐνομιανοὺς, ἔνθα φησὶ, φιλοσόφει μοι περὶ κόσμου καὶ ὕλης, εἶτα περὶ Χριστοῦ παθημάτων, καὶ τὰ ἑξῆς. [i] αἴσθησις] ἰσοκρατικὸν, ἀντὶ τοῦ, ἐάν τις αἴσθησίς ἐστι τῶν τῇδε ἀκούειν. [k] τοῦ δὲ] τούτου δὲ τοῦ Κωνσταντίου ἡ ψυχὴ δηλονότι καὶ πάντων τῶν ἄλλων βασιλέων πλέον ἀκουέτω. [l] βεβαιωσάμενος] ἀντὶ τοῦ, βεβαιώσας καὶ κυρώσας. [m] ὢ τῆς ἐπηρείας] τοῦτο μεταξὺ νόησον πρὸ τῆς ἀποδόσεως. ἐπήρειαν δὲ, ἣν αὐτὸς ἐπηρεάσθη Κωνστάντιος ἀγνοήσας τὸ τοιοῦτον κακόν. [n] ἐπιτρέφων] θεῖος γὰρ αὐτοῦ ἦν. [o] βασιλεῦσαι] ἀντὶ τοῦ, ποιῆσαι βασιλεῦσαι. [p] ἡσθείη] χαρείη.

τὸ ἀρχαῖον ἐπιδημήσουσιν, οὕτω δὴ καὶ τῷ λόγῳ. λόγον γὰρ ἀναθήσω τῷ Θεῷ χαριστήριον, πάσης ἀλόγου θυσίας [q] ἱερώτερόν τε καὶ καθαρώτερον, οὐ κατὰ τοὺς [r] ἐναγεῖς ἐκείνου λόγους καὶ λήρους, καὶ τὰς ἐναγεστέρας θυσίας, ὧν ἡ [s] περιουσία καὶ τὸ δυνατὸν, ἀσεβείας ἦν δύναμις, καὶ ἄσοφος, ἵν' οὕτως ὀνομάσω, σοφία· ἐπεὶ καὶ πᾶσα [t] ἡ τοῦ αἰῶνος τούτου δύναμίς τε καὶ παίδευσις, ἐν σκότει [u] διαπορευομένη, καὶ τοῦ τῆς ἀληθείας φωτὸς πόῤῥω πίπτουσα. [x] ἐκείνη μὲν δὴ τοιαύτη, καὶ παρὰ [y] τοιούτοις, καὶ τοιαύτας ἔχουσα τὰς ἐπικαρπίας, ὡσεὶ χόρτος ταχὺ ἀποξηραινομένη, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπίπτουσα καὶ συναπιοῦσα τοῖς πατράσιν ἀπολλυμένοις μετ' ἤχου, καὶ περιφανεστέροις τὴν πλάνην ἢ τὴν ἀσέβειαν. ἐμοὶ δὲ θύοντι θυσίαν αἰνέσεως σήμερον, καὶ τὴν ἀναίμακτον τῶν λόγων τιμὴν ἀνάπτοντι, τίς θέατρον [z] περιστήσει τῇ χάριτι [a] παρισούμενον; ἢ τίς συνηχήσει γλῶσσα τοσοῦτον ὁπόσον καὶ βούλομαι; τίς ἀκοὴ τῷ λόγῳ συμπροθυμηθήσεται; καὶ γὰρ, οὐ τῷ [b] Λόγῳ μόνον ἡ διὰ λόγου

γρ. λόγοις τε καὶ

γρ. περιστήσοι

γρ. μόνου

Ψαλ. λς. β.

[q] ἱερώτερον] τὸν λόγον. [r] ἐναγεῖς] μυσαροὺς, ἀκαθάρτους. [s] περιουσία] ἀντὶ τοῦ περιττεῦον καὶ πλεονάζον καὶ λίαν εὔπορον. [t] ἡ τοῦ αἰῶνος] καλῶς ὁ προσδιορισμός. παίδευσις γὰρ καὶ τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων αὐτοῦ, ἄνωθεν δὲ παρὰ τοῦ πατρὸς τῶν φώτων. [u] διαπορευομένη,] ὅτι δηλονότι. [x] ἐκείνη] ἡ ἄσοφος σοφία. [y] τοιούτοις] ἐπισημοτέροις καὶ ὀνομαστοτέροις. [z] περιστήσει τῇ χάριτι] ἀντὶ τοῦ, κύκλῳ στήσει. τίς δώσει μοι τοιούτους, φησὶν, ἀκροατὰς, ὥστε καὶ ἀξίους εἶναι τῆς χάριτος. ποίας; ἣν ὁ Θεὸς ἡμῖν ἐχαρίσατο καθελὼν τὸν τύραννον. [a] παρισούμενον;] παραμετρούμενον.

[b] λόγῳ] οὐ μόνον, φησὶ, τῷ Θεῷ λόγῳ ἡ διὰ λόγου χάρις οἰκειοτάτη καὶ πρεπωδεστάτη τῶν ἄλλων χαρίτων, ἃς αὐτῷ προσφέρομεν, ἀπὸ τῶν ὑπαρχόντων ἕκαστος, οἷα διαφερόντως ταύτῃ τῇ λόγου προσηγορίᾳ χαίροντι μετὰ τῶν ἄλλων προσηγοριῶν, ὧν ὀνομάζεται, θύρας, φέρε εἰπεῖν, ζωῆς, ἀληθείας, φωτός. οὐ μόνον οὖν τῷ Θεῷ λόγῳ, φησὶν, ἡ διὰ λόγου χάρις οἰκειοτάτη τῶν ἄλλων ἐν ἄλλοις χαρίτων, ἀλλὰ καὶ τῷ τυράννῳ πρέπουσα κόλασις, λόγῳ κολάζεσθαι τῷ στηλιτευτικῷ τούτῳ, ἀνθ' ὧν εἰς τοὺς λόγους παρανομῶν ἑάλω. ἡ δὲ παρανομία, ὅτι τοὺς Χριστιανοὺς παιδεύεσθαι τὴν κοινὴν ταύτην παίδευσιν ἐκώλυεν. ἔστι δὲ καὶ ἄλλως τὸ χωρίον ἐξηγήσασθαι, εἰ λόγον ἐνταῦθα νοήσαιμεν τὸν κοινὸν ἁπάντων ἀνθρώπων, ὃς τοῦ τε εὐλόγου καὶ τοῦ ἀλόγου μέσος ἕστηκεν· ὧν τὸ μὲν εὔλογον ἕξις αὐτοῦ καὶ χρῆσις, τὸ δὲ ἄλογον στέρησις. οὐ μόνον οὖν τῷ λόγῳ τούτῳ ἡ διὰ λόγου χάρις οἰκειοτάτη, χαίροντι διαφερόντως καὶ μάλιστα τῇ τοῦ λόγου προσηγορίᾳ καὶ δυνάμει μετὰ τῶν ἄλλων εὐλόγων ὧν ὀνομάζεται, φέρε εἰπεῖν, παιδεύσεως, σοφίας, ἀρετῆς, ἀλλὰ κἀκείνῳ πρέπουσα δίκη, καὶ τὰ ἑξῆς. Ἀριστείδου δὲ τὸ ἐνθύμημα.

χάρις οἰκειοτάτη, μετὰ τῶν ἄλλων ὧν ὀνομάζεται, καὶ ταύτῃ χαίρουσι τῇ προσηγορίᾳ διαφερόντως, καὶ τῇ δυνάμει τῆς κλήσεως· (Ιωαν. α. α.) ἀλλὰ κἀκείνῳ πρέπουσα δίκη, λόγῳ κολάζεσθαι ὑπὲρ τῆς εἰς λόγους παρανομίας· ὧν κοινῶν ὄντων λογικοῖς ἅπασιν, ὡς ἰδίων αὐτοῦ, Χριστιανοῖς ἐφθόνησεν, ἀλογώτατα περὶ λόγων διανοηθεὶς ὁ πάντων, ὡς ᾤετο, λογιώτατος. [c] πρῶτον μὲν, ὅτι κακούργως τὴν προσηγορίαν μετέθηκεν ἐπὶ τὸ δοκοῦν, ὥσπερ τῆς θρησκείας ὄντα τὸν Ἑλληνίζειν λόγον ἀλλ' οὐ τῆς γλώσσης, καὶ διὰ τοῦτο, ὡς ἀλλοτρίου καλοῦ [d] φῶρας, τῶν λόγων ἡμᾶς ἀπήλασεν· ὥσπερ ἂν εἰ καὶ τεχνῶν εἶρξεν ἡμᾶς, ὅσαι παρ' Ἕλλησιν εὕρηνται, καὶ τοῦτο διαφέρειν αὐτῷ διὰ τὴν ὁμωνυμίαν ἐνόμισεν. ἔπειτα ὅτι λανθάνειν ἡμᾶς ὑπέλαβεν, οὐκ ἀγαθοῦ τινος τῶν πρώτων ἀποστερήσειν μέλλων (οἵ γε καὶ σφόδρα τούτοις περιφρονοῦμεν τοὺς λόγους) ἀλλὰ τοὺς ἐλέγχους τῆς ἀσεβείας φοβούμενος, ὥσπερ ἐν τῇ κομψείᾳ τῆς λέξεως τὴν ἰσχὺν ἔχοντας, ἀλλ' οὐκ ἐν τῇ γνώσει τῆς ἀληθείας, καὶ τοῖς ἐνθυμήμασιν· [e] ὧν ἐπισχεῖν ἡμᾶς ἀδυνατώτερον, ἢ τὸν θεὸν ὁμολογεῖν γλῶσσαν ἔχοντας. (ἴσ. ἢ τοῦ τὸν) ἐπεὶ, καὶ τοῦτο μετὰ τῶν ἄλλων, ἱερουρ-

[c] πρῶτον μὲν,] δύο φησὶν αἰτίας τῆς ἀλογίας τῆς ἐκείνου, ἣν εἰς τοὺς λόγους πέπονθε· πρῶτον μὲν ὅτι κακουργότατα τὴν ἐπωνυμίαν τοῦ λόγου μετωνόμασεν ἐπὶ τὸ δοκεῖν, οὐκέτι λόγοις, ἀλλ' ἑλλήνων παίδευσιν ἢ σοφίαν προσαγορεύων, ἀγνοῶν ὁ δειλὸς, ὅτι οὐ καθ' ὃ ἕλληνες, ἀλλὰ καθ' ὃ ζῶα λογικὰ ἐφιλοσόφησαν. εἰ δὲ τοῦτο, πάντων ἀνθρώπων, ἀλλ' οὐ τῶν ἑλλήνων ἡ παίδευσις. δεύτερον δὲ ὅτι λανθάνειν ἡμᾶς ἐνόμισεν, εὐτελοῦς τινος ἀποστερῶν τῶν τοιούτων λόγων, οἳ τῆς εὐγλωττίας ὀλιγωροῦντες, τῆς ἀληθείας ἐχόμεθα. ἄλλως. οὕτω διαλύσας τὴν φράσιν, σαφέστερον νοήσεις καὶ βέλτιον. εἰ λήσειν ἡμᾶς ὑπελάμβανεν, οὐ μέλλων ἀγαθοῦ τινος ἀποστερήσειν ἡμᾶς, ἀλλὰ φοβούμενος τοὺς τῆς ἀσεβείας ἐλέγχους, οἳ καὶ πάλιν τούτους περιφρονοῦμεν τοὺς λόγους, τὴν ἰσχὺν ἔχοντας οὐκ ἐν τῇ γνώσει τῆς ἀληθείας, ἀλλ' ἐν τῷ κόμπῳ καὶ τῷ σεμνῷ τῆς λέξεως. οὐκ ἔλαθεν οὖν ἡμᾶς τοὺς ἐλέγχους μᾶλλον φοβούμενος, ἢ τῶν λόγων ἀποστερεῖν ἐπειγόμενος. [d] φῶρας,] αἰτιατικὴ τοῦ κλέπτας, ὅθεν καὶ τὸ ἐπαυτοφώρῳ, ἀντὶ τοῦ, ἐπ' αὐτῇ κλοπῇ. [e] ὧν] ὧν τινῶν φησὶν ἐνθυμημάτων τῆς ἀληθείας ἀδυνατώτερον ἐπισχεθῆναι ἡμᾶς. ἀδύνατον δὲ καὶ τῶν λόγων ἐπισχεῖν ἡμᾶς καὶ τῆς γνώσεως αὐτῆς· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῦ τὸν Θεὸν ὁμολογεῖν γλῶσσαν ἔχοντας. ἀδυνατώτερον ἐπισχεθῆναι. οὕτως οὖν νοήσεις· ὧν ἐνθυμημάτων καὶ γνώσεως τῆς ἀληθείας καὶ τοῦ τὸν Θεὸν ὁμολογεῖν ἀδυνατώτερον ἡμᾶς εἶρξαι τὸν τύραννον τῶν λόγων.

γενόμενον τὸν [f] λόγον, ὥσπερ τὰ σώματα, ἡνίκα δὴ καὶ τούτοις ἀγωνίζεσθαι δέῃ περὶ τῆς ἀληθείας. ὥστε ὁ τοῦτο προστάξας, ἀττικίζειν μὲν ἐκώλυσε, τὸ δὲ ἀληθεύειν οὐκ ἔπαυσε· καὶ τὸ μὲν ἑαυτοῦ σαθρὸν ἤλεγξε, τοὺς ἐλέγχους δὲ οὐ διέφυγεν, ὅτι μὴ καὶ μᾶλλον τούτοις ἑαυτὸν ὑποθεὶς ἠγνόησεν. οὐ γὰρ [g] θαρροῦντος ἐστὶν οὔτε τοῖς ὑπὲρ τῆς θρησκείας δικαίοις, οὔτε τοῖς λόγοις αὐτοῖς, τὸ τοὺς ἡμετέρους ἐπισχεῖν λόγους. ὥσπερ δὴ εἴ τις κράτιστον ἑαυτὸν νομίζοι τῶν ἀθλητῶν, καὶ ἀξιοῖ κατὰ πάντων κηρύττεσθαι, μηδένα τῶν γενναίων ἀγωνίζεσθαι μηδὲ καταβαίνειν εἰς τὸ στάδιον ἐπιτάξας, ἢ τὴν τῶν μηρῶν περικόψας, ὅπερ ἀνανδρίας μᾶλλον ἢ ῥώμης τεκμήριον. [h] κατὰ γὰρ τῶν ἀγωνιζομένων, οὐ τῶν ἄνω καθεζομένων εἰσὶ στέφανοι, καὶ τῶν πάσῃ τῇ ῥώμῃ χρωμένων, οὐ τῶν περιῃρημένων τὸ πολὺ τῆς δυνάμεως. εἰ δὲ ὅλως συμμῖξαι, καὶ εἰς χεῖρας ἐλθεῖν ἐφοβήθης, αὐτῷ τούτῳ τὴν ἧτταν ἔδειξας, καὶ νικᾶν ὑπῆρξέ μοι μηδὲ ἠγωνισμένῳ, ὃν ἠγωνίσω μὴ ἀγωνίσασθαι. Ταῦτα μὲν ὁ σοφὸς ἡμῖν βασιλεύς τε καὶ νομοθέτης, ὥσπερ (ἵνα μηδὲν αὐτοῦ τῆς τυραννίδος ἄμοιρον ᾖ, καὶ προκηρύξῃ τὴν ἀλογίαν) ἐν ἀρχῇ τῆς ἑαυτοῦ βασιλείας τυραννήσας περὶ τῶν ἄλλων τοὺς λόγους. ἡμῖν δὲ καλὸν, καὶ ὑπὲρ τῶν λόγων αὐτῶν, ὁμολογεῖν τῷ Θεῷ χάριν, τὴν ἐλευθερίαν "ἀπολαβόντων, καὶ μάλιστα μὲν καὶ τοῖς ἄλλοις τιμᾶν αὐτὸν ἀναθήμασι, "φειδομένοις μηδενὸς, μήτε χρημάτων, μήτε κτημάτων, ἃ τῶν καιρῶν γενόμενα καὶ τῆς τυραννίδος, ἡ φιλανθρωπία τοῦ Θεοῦ διεσώσατο· τιμᾶν δὲ παρὰ τῶν ἄλλων τοῖς λόγοις, τῇ δικαίᾳ καρποφορίᾳ καὶ κοινῇ πάντων, ὅσοι τῆς χάριτος μετειλήφασιν.

γρ. ἀπολαμβανόντων, γρ. φειδομένους

Ἀλλ' ὁ μὲν ὑπὲρ τῶν λόγων λόγος τοσοῦτος· ἵνα μὴ μακρότερον ἀποτείνοντες ἔξω τοῦ καιροῦ πίπτωμεν, καὶ ἄλλο τι μᾶλλον σπουδάζειν δοκῶμεν, ἢ οὗ χάριν συνεληλύθαμεν. ἤδη δέ μοι πηδᾷ καὶ

---

[f] λόγον] τὸν ἀληθῆ δηλονότι. [g] θαρροῦντος] πιστεύοντος. [h] κατὰ γὰρ] κατὰ γὰρ τῶν ἀγωνιζομένων οἱ στέφανοι, ἀντὶ τοῦ, ὑπὲρ τῶν ἀγωνιζομένων. Δημοσθέν. ὅπερ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον.

ἵεται πρὸς [i] πανηγυρισμὸν ὁ λόγος, καὶ τοῖς ὁρωμένοις συμφαι-
δρύνεται, καὶ καλεῖ πάντας [k] εἰς χορείαν πνευματικήν, ὅσοι τε νη-
στείαις, καὶ κλαυθμῷ, καὶ δεήσεσι προσέκειντο, νύκτα τε καὶ ἡμέρας αἰ- γρ. δεήσει
τούμενοι λύτρωσιν τῶν κατεχόντων ἀνιαρῶν, καὶ δεξιὸν ἐν τοῖς κα-
Ρω. ε. ε. κοῖς φάρμακον τὴν οὐ καταισχύνουσαν ἐλπίδα ποιούμενοι· ὅσοι
τε μεγάλους ἀνατλάντες ἀγῶνας καὶ ἄθλους, καὶ πολλαῖς πληγέν-
τες καὶ χαλεπαῖς τοῦ καιροῦ προσβολαῖς, θέατρον ἐγενήθησαν τῷ
α Κορ. δ. θ. κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, [l] καὶ τὰ
μὲν σώματα κάμνοντες, τὰς δὲ ψυχὰς ἀήττητοι διαμείναντες, καὶ
Φιλ. δ. ιγ. πάντα ἰσχύοντες ἐν τῷ δυναμοῦντι αὐτοὺς Χριστῷ· ὅσοι τε ἤ τινα γρ. ἐνδυναμοῦντι
κοσμικὴν ἀποθέμενοι κακίας ὕλην καὶ δυναστείαν, ἢ τὴν ἁρπαγὴν
τῶν ὑπαρχόντων μετὰ χαρᾶς προσδεξάμενοι, ἢ τῶν ἑαυτῶν, ὁ [m] δὴ λέ-

---

[i] πανηγυρισμὸν] ὁ γὰρ παρὼν λόγος, ψόγος ὢν τῆς Ἰουλιανοῦ κακίας, καὶ στήλη τῆς ἀσεβείας ἀθάνατος, τοῦ πανηγυρικοῦ εἴδους ἐστί. τὸ γὰρ πανηγυρικὸν τῆς ῥητορικῆς εἶδος εἰς ψόγον διήρηται καὶ ἐγκώμιον, ὥσπερ τὸ δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν, καὶ τὸ συμβουλευτικὸν εἴς τε παραίνεσιν ἀστασίαστον καὶ εἰς ὁμώνυμον τῷ γένει συμβουλήν.

[k] εἰς χορείαν] τέσσαρας εἰς τὴν πανήγυριν μοίρας καλεῖ, ὧν ἡ δευτέρα εἰς δύο διήρηται. καὶ πρώτην μὲν καλεῖ ἐκείνην, ὅσοι νηστείαις καὶ δεήσει προσκείμενοι παρεκάλουν τὸν Θεὸν δοῦναι λύσιν τῶν τότε κατεχόντων ἀνιαρῶν. δευτέραν δὲ καλεῖ τὴν εἰς δύο διῃρημένην, εἴς τε πεπονθότας ἐν τοῖς σώμασιν, εἴς τε πεπονθότας ἐν τοῖς ἐκτός, καὶ περιῃρημένους χρήματα, δυναστείαν, κτήματα, καὶ πατρίδος μὲν ἀπελαθέντας, τῶν δὲ οἰκείων καὶ φιλτάτων διαζευχθέντας. τρίτην, ὅσοι τὴν μὲν ὁμολογίαν εὐσεβεῖς ὄντες, τοὺς δὲ τῆς προνοίας λόγους ἀγνοοῦντες διὰ τὴν ἐναντίων πολλάκις παρ' ἐλπίδα διοικουμένης, τήν τε πρόσκαιρον τῶν ἐναντίων εὐημερίαν οὐ φέροντες δοῦλοι τῶν παρόντων ἀεὶ εἰσί, τοῖς δὲ ὕστερον θαύμασι βεβαιοῦνται πρὸς τὴν ἀλήθειαν. τετάρτην καλεῖ μοῖραν ἐκείνοις, ὅσοι περὶ τὴν τοῦ κόσμου τούτου σκηνὴν τὰς ψυχὰς ἐπτόηνται, προτρέπων τούτοις τοῖς Ἡσαΐου ῥήμασιν, ἀποστήσαντας τὸ νοερὸν τῆς ψυχῆς ὄμμα τῆς τῶν ὁρωμένων ἀπάτης καὶ πλάνης γνῶναι λοιπὸν τὸν ὄντως ὄντα Θεόν. πέμπτην ἐπιζητεῖ συμπανηγυρίσαι μοῖραν αὐτῷ, ἣ τέως μὲν τοῦ χοροῦ τοῦ διδασκάλου διέστη, μικρὸν δὲ ὕστερον εἰς ταὐτὸν ἐλθεῖν ἐκ μετανοίας ἐλπίζεται. [l] καὶ] ἢ ὁ καὶ σύνδεσμος περιττεύει, ἢ ταῦτα τοῖς ἄνω συνάψας οὕτω στήσεις τὴν φράσιν. κἀκείνους, φησίν, ὁ λόγος εἰς χορείαν συγκαλεῖ, ὅσοι μεγάλους ἀνατλάντες ἀγῶνας, καὶ πολλαῖς πληγέντες τοῦ καιροῦ προσβολαῖς, καὶ τὰ μὲν σώματα κάμνοντες, τὰς δὲ ψυχὰς ἀήττητοι μένοντες, καὶ πάντα ἰσχύοντες ἐν Χριστῷ, θέατρον ἐγενήθησαν τῷ κόσμῳ. οὕτω στήσεις τὴν φράσιν. [m] δὴ λέγεται] τοῖς πολλοῖς καὶ ταπεινοῖς τὴν διάνοιαν. τοῖς γὰρ ὀλίγοις καὶ ὑψηλοῖς μία πατρὶς ὡς ἀληθῶς καὶ μήτηρ ἡ ἄνω Ἰερουσαλήμ. νομίζεται γάρ, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ἡμῖν ἐν γῇ πατρίς, ἢ ὅλως τι τῶν ἀπηριθμημένων τῷ πατρί.

γεται, φυγαδευθέντες ἀδίκως, ἢ ἀνδρῶν, ἢ γυναικῶν, ἢ γονέων, Εβ. ι.
ἢ τέκνων, ἢ ὅσοις ἄλλοις ὀνόμασι τῆς μικρᾶς οἰκειότητος κατεχόμεθα, τούτων πρὸς ὀλίγον διαζευχθέντες, καὶ τῷ Χριστοῦ καρποφορήσαντες αἵματι, τὰ ὑπὲρ Χριστοῦ πάθη, νῦν ἂν ἐκεῖνο λέγοιεν καὶ ᾄδοιεν ἐν καιρῷ, τὸ, Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κε- Ψαλ. ξϛ. ιβ.
φαλὰς ἡμῶν, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. καλῶ καὶ τὴν ἑτέραν μοῖραν εἰς τὴν πανήγυ-
γρ. τοῖς λογισμοῖς ριν, ὅσοι τὸν μὲν τῶν ὅλων ὁμολογοῦντες Θεὸν, καὶ μέχρι τούτου τοῖς λογισμοῖς ὑγιαίνοντες, τοῖς δὲ τῆς προνοίας λόγοις οὐκ ἐμβατεύοντες ἐκ τῶν ἐναντίων πολλάκις τὰ βελτίω διαικουμένης, καὶ τῇ χρηστότητι προσκαλουμένης τὴν ἐπανόρθωσιν, ἀλλὰ διὰ πτωχείαν Ρω. β. δ.
ψυχῆς καὶ κουφότητα, ἐν τῷ ὑπερηφανεύεσθαι τῶν ἀσεβῶν, τοὺς λογισμοὺς ἐμπυριζόμενοί τε καὶ ἀναπτόμενοι, καὶ εἰρήνην ἁμαρτωλῶν οὐ φέροντες (ὅ δή φησιν ὁ ψαλμὸς) οὐδ' ὑπομένοντες τοῦ Ψαλ. οβ. γ. ιγ.
Θεοῦ τὴν βουλὴν, καὶ πρὸς τὸ πέρας μακροθυμοῦντες, δοῦλοι δὲ ὄντες ἀεὶ τῶν παρόντων καὶ τῶν ὁρωμένων, τοῖς [n] πιστοῖς θαύμασι βεβαιοῦνται πρὸς τὴν ἀλήθειαν. [καὶ] καλῶ καὶ τὰς [o] ἐπτοημένας ψυχὰς περὶ τὴν τοῦ κόσμου τοῦδε σκηνὴν, καὶ τὸ μέγα θέατρον· καὶ καλῶ γε τοῖς Ἡσαΐου ῥήμασι· Γυναῖκες ἐρχόμεναι ἀπὸ Ησ. κζ. ια.
θέας, δεῦτε, καὶ τὸ τῆς ψυχῆς ὄμμα ἐκ τῆς ἔξω περιπλανήσεως ἐπιστρέψασαι σχολάσατε, καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ὁ ὑψούμενος ἐν τοῖς ἔθνεσιν, ὑψούμενος ἐν τῇ γῇ ἀεί ποτε ἐν πᾶσιν οἷς Ψαλ. μϛ. ια.
γρ. θαυμασίοις ἐποίησε θαύμασι καὶ τέρασι, καὶ τοῖς νῦν ἐναργεστέροις. Εἴθε μοι τοῦ χοροῦ μέρος ἦν κἀκεῖνο τὸ σύστημα, ὃ σὺν ἡμῖν τέως τῷ Θεῷ προσῇδεν, οὐ [p] κίβδηλον ᾠδὴν οὐδὲ ἀδόκιμον, ἀλλὰ καὶ τῆς

[n] πιστοῖς] δηλ. τοῖς νῦν, τοῦ καταλυθῆναι τὸν τύραννον, καὶ τὴν εὐσέβειαν εἰς τὸ ἀρχαῖον ἐπανελθοῦσαν μᾶλλον παῤῥησιάσασθαι. [o] ἐπτοημένας] εἴρηται ἀπὸ τῆς πτοίας καὶ φοβείας. ὁ γάρ τινι πράγματι προσεστηκὼς περιδεής ἐστι μή πως ἀφαιρεθῇ αὐτοῦ. [p] κίβδηλον] οὐ νόθον, ἀλλὰ καθαρὰν καὶ γνησίαν. εἴρηται ἀπὸ ἱστορίας. οἱ Ἀθηναῖοι χίοις μισοῦντες ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασι Χ ἐγχαράττοντες ἐκάλουν χίβδηλα. εἶτα πρὸς τὸ εὐφωνότερον μετέβαλον τὸ χ. εἰς κ.

δόξης

δόξιας ποτὲ στάσεως ἀξιούμενον (πιστεύω δὲ ὅτι καὶ μετ' ὀλίγον ἀξιωθησόμενον) οὐκ οἶδ' ὅ,τι παθὸν, ἐξαίφνης μεθαρμόζεταί τε καὶ μεταπάττεται, καὶ οὐδὲ ὑπὸ τῆς κοινῆς εὐφροσύνης (ὃ καὶ θαυμάζω μᾶλλον) εἰς ταὐτὸν ἐπιμέρχεται, ἀλλ' ἰδίαν ἵστησιν, οὐκ εὔρυθμόν τινα ταύτην χορείαν οὐδὲ ἐναρμόνιον (τοσοῦτον γὰρ ἴσως εἰπεῖν καὶ αὐτοὶ δώσουσιν) ἀλλ' ὁποίαν καί τινα, εἰ καὶ κινεῖται λέγειν ὁ ζῆλος, ἀλλ' ἡ πίστις κρατεῖ, καὶ κατέχω τοῦ λόγου καὶ ἀηδὲς αὐδοὶ τῆς ἐλπίδος. ἔτι μου [q] παρείπω τὰ μέλη, ἔπι δίδωμι πλέον τῇ περὶ ἀγάπῃ τῆς προύσης εὐφροσύνης· καὶ διὰ τοῦτο γίνομαι μακροθυμότερος, ἵν' ὀνειδίσω θερμότερον. [r] μίαν μοῖραν, ἐν ψυχῶν γένος ἀποκηρύττω τῆς πανηγύρεως, στένων μὲν καὶ ἀλγῶν, καὶ οὐδὲ ἐπαίοντας ἴσως πενθῶν, οὐδ' αἰσθανομένους τῆς ἑαυτῶν ἀπωλείας ἀποδυρόμενος (τοῦτο γὰρ τῆς πληγῆς αὐτῶν τὸ ἐλεεινότατον) ἀποκηρύττω δ' ὅμως· οἱ σπαρέντες οὐκ ἐπὶ τὴν στερεὰν πέτραν καὶ ἄσειστον, ἀλλ' ἐπὶ τὴν ξηρὰν τε καὶ ἄγονον (εἰσὶ δὲ καὶ τῷ λόγῳ προσελθόντες [s] ἐπιπολαίως καὶ ὀλιγόπιστοι) καὶ, διὰ τὸ μὴ ἔχειν βάθος γῆς, εὐθέως ἐξανατείλαντες καὶ προκύψαντες, ἵνα τοῖς πλησίον ἀρέσκωσιν, ἔπειτα ὑπὸ βραχείας τοῦ πονηροῦ προσβολῆς καὶ ὀλίγου πειρασμοῦ καὶ καύσωνος ἐξηράνθησαν καὶ ἀπέθανον. καὶ τούτων ἔτι χείρους, καὶ μᾶλλον ἀποκηρυκτέοι τῆς πανηγύρεως, ὅσοι μηδὲ πρὸς ὀλίγον ἀντέβησαν τῷ καιρῷ, καὶ τοῖς τὴν κακὴν αἰχμαλωσίαν ἡμᾶς αἰχμαλωτίζουσιν ἀπὸ τοῦ ἀναβάντος εἰς ὕψος καὶ καλῶς ἡμᾶς αἰχμαλωτίσαντος, ἀλλ' ἐκ προουσίας ἐφάνησαν πονηροί τε καὶ εὔωνοι, οὐδὲ πρὸς ὀλίγον ἀντισχόντες, οὐδὲ γνωσθέντες τινὸς αὖθις θλίψεως ἢ πειρασμοῦ διὰ τὸν λόγον σκανδαλισθέντες,

Ματ. ιγ.

Ψαλ. ξζ. ιη.

---

[q] παρείπω] παρείπω εἴρηται ἀπὸ τοῦ παρέξ ἕπειν, ὅ ἐστιν ἀκολουθεῖν. [r] μίαν] τεσσάρας ἀρτίως μοίρας καλέσας εἰς τὴν πανήγυριν, δύο νῦν ἀποκηρύττει ταύτης, ἐκβάλλει καὶ ἀπελαύνει, ἐκείνους τε ὅσοι μικρᾶς αὐτοῖς τοῦ καιροῦ προσβολῆς γενομένης, εὐθὺς τῆς ἀληθείας ἀπέστησαν, ἀρνησάμενοι τὴν εὐσέβειαν· καὶ τοὺς τούτων χείρους, ὅσοι τῷ καιρῷ μηδὲ πρὸς ὀλίγον ἀντιστατήσαντες, αὐτεπάγγελτοι πρὸς τοὺς ἐχθροὺς μεθηρμόσαντό τε καὶ δὴ μετετάξαντο. [s] ἐπιπολαίως] κούφως, ἐλαφρῶς, ἀρρίζως.

ἀλλ' α'

ἀλλὰ παρ᾽ ἐσχαίρου κέρδους, ἢ θεραπείας, ἢ δυναστείας μικρᾶς οἱ δείλαιοι τὴν ἑαυτῶν σωτηρίαν ἀπεμπολήσαντες.

Ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τοῦ χοροῦ τὸ πλήρωμα, φέρε, ὅση δύναμις, ἁγνισάμενοι καὶ σώματα καὶ ψυχάς, καὶ μίαν ἀναλαβόντες φωνήν, ἐνὶ συναρμοσθέντες πνεύματι, τὴν ἐπινίκιον ᾄδωμεν ἐκείνην ᾠδήν, ἥν ποτε ᾖσεν ὁ Ἰσραὴλ ἐπὶ τοῖς Αἰγυπτίοις τῇ ἐρυθρᾷ καταληφθεῖσιν, ἐξαρχούσης Μαρίας καὶ ἀνακρουομένης τὸ τύμπανον· Ἄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν, οὐκ εἰς θάλασσαν (τοῦτο γὰρ μεθαρμόζω τῆς ᾠδῆς) ἀλλ᾽ ὅποι φίλον ἦν αὐτῷ, καὶ ὅπως αὐτοὺς ἐδικαίωσεν· Ὁ ποιῶν πάντα, καὶ μετασκευάζων (εἶπέ που τῆς ἑαυτοῦ προφητείας Ἀμὼς φιλοσοφῶν ἐνθεώτατα) ὁ ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν θανάτου, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων, καὶ οἱονεὶ διὰ κύκλου τινὸς εὐθύνων καὶ διεξάγων τὸν πάντα κόσμον, καὶ τὰ ἡμέτερα σαλευόμενά τε ὁμοῦ καὶ μὴ σαλευόμενα, ταῖς μεταβολαῖς κινούμενα καὶ τάξει τρεπόμενα καὶ ἄλλοτε ἄλλως ἔχοντα, τῇ τάξει δὲ τῆς προνοίας πάγια καὶ ἀκίνητα, κἂν διὰ τῶν ἐναντίων ἐκείνῃ τῷ λόγῳ μὲν δήλων, ἡμῖν δὲ ἀγνοουμένων· Ὁ καθαιρῶν δυνάστας ἀπὸ θρόνων, καὶ [a] ἀνυπονόητον κοσμῶν διαδήματι (παρὰ [γὰρ] τῆς θείας καὶ τοῦτο λαμβάνω γραφῆς) ὁ γόνασιν ἀδυνάτοις θάρσος περιτιθείς, καὶ συντρίβων ἁμαρτωλοῦ καὶ πονηροῦ βραχίονας (καὶ ταῦτα παρ᾽ ἄλλης, ὅπως ἂν ἕκαστον ἐπίῃ τῇ μνήμῃ, πολλαῖς συμπληρούντων μοι τὴν ᾠδὴν καὶ συνεράνιζόντων τὸ χαριστήριον) ὁ ἰδοὺς ὁρᾶσθαι τῶν ἀσεβοῦς καὶ τὴν ὑπὲρ τὰς κέδρους ἔπαρσιν, καὶ τὴν εἰς τὸ μηκέτι εἶναι καθαίρεσιν, ὅταν μὴ αὐτοῦ παρέλθειν δυνηθῶμεν τάχει καὶ ἀσφαλείᾳ ποδὸς τῶν ἀσεβῶν. τίς ταῦτα πρὸς ἀξίαν ἐρεῖ καὶ διηγήσεται τῶν τὰ θεῖα διηγουμένων; Τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐ-

Margin notes: Ἐξόδ. ιε. β. — Ἀμ. ε. η. — Λουκ. α. νβ. — Σειρ. ια. α. — Ψαλ. λζ. ιζ. — Ψαλ. λς. λε. λς. — Ψαλμὸς β. γ.

[a] Ἀνυπονόητον] Ἰοβιανοῦ βασιλεύοντος, ὁ λόγος οὗτος καὶ ὁ μετ᾽ αὐτὸν ἀμφότεροι λέγονται. μετὰ γὰρ τὸν ἀσεβήσαντα Ἰουλιανὸν Ἰοβιανὸς βασιλεύει.

τοῦ; τίνα φωνὴν, ἢ τίνα λόγου δύναμιν ἐξισώσει τῷ θαύματι; τίς
Ψαλ. ξγ. ιγ. συνέτριψεν ὅπλον, καὶ ῥομφαίαν, καὶ πόλεμον; τίς συνέθλασε
Ψαλ. ρς. κη. τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος; τίς ἔδωκεν αὐτὸν βρῶ-
μα λαοῖς, οἷς καὶ παρέδωκε; τίς ἔστησεν εἰς αὔραν καταιγίδα; τίς
εἶπε τῇ θαλάσσῃ σιώπα, πεφίμωσο, καὶ, ἐν σοὶ συντριβήσεταί
σου τὰ "κύματα· καὶ μόνον οὐ καὶ συντρίψας, οὐκ ἐπὶ πολὺ μετε-
Ψαλ. ϙα. ιγ. ωρισθέντα καὶ ἀναζέσαντα; τίς ἐπάνω ὄφεων καὶ σκορπίων πα-
Γεν. γ. ιε. τεῖν ἐδωρήσατο, οὐκ ἔτι λάθρα τῆς πτέρνης τηρούντων, ὡς ἡ κατά-
κρισις, ἀλλὰ φανερῶς ἐπεμβαινόντων καὶ διαιρούντων τὴν κεφαλὴν,
Ψαλ. ρκε. γ. ἣν πατεῖσθαι κατεδικάσθησαν; τίς ὁ ποιήσας κρίμα καὶ δικαιοσύνην
ἀδόκητον; τίς ὁ μὴ παντελῶς ἐπαφεὶς τὴν ῥάβδον τῶν ἁμαρτωλῶν,
ἆρα θαῤῥῆσαι χρὴ τῷ κλήρῳ τῶν δικαίων εἰπεῖν; ἢ, ὃ τούτου μετρι-
ώτερον, τῷ κλήρῳ τῶν αὐτὸν γινωσκόντων; οὐ γὰρ ὡς δίκαιοι παρεδόθη-
μεν (τοῦτο γὰρ ὀλίγοι καὶ ὀλιγάκις πάσχουσιν, ἵν᾽ ὡς ἀθληταὶ γενναῖοι
τὴν πεῖραν καταισχύνωσιν) ἀλλ᾽ ὡς ἁμαρτάνοντες κατεκρίθη-
μεν, εἶτα ἠλεήθημεν κηδεμονικῶς τε καὶ πατρικῶς, ὅσον σωφρο-
νισθῆναι πληγέντες, καὶ ὅσον πρὸς αὐτὸν ἐπιστρέψαι νουθετηθέντες.
Ψαλ. ϛ. α. ἤλεγξε με γὰρ, οὐ τῷ θυμῷ δέ· καὶ πεπαίδευκέ με, οὐ τῇ ὀργῇ δέ·
δι᾽ ἀμφοτέρων δεικνὺς τὸ φιλάνθρωπον, καὶ τῆς ὑπομνήσεως καὶ
Ψαλ. ρμθ. ζ. τῆς ἀνέσεως. τίς ὁ ποιήσας ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, "ἐλεγμοὺς γρ. ἐλέγχους
Ψαλ. κε. ια. ἐν τοῖς λαοῖς; κύριος κραταιὸς καὶ δυνατὸς, κύριος δυνατὸς ἐν
πολέμῳ. μίαν εὑρίσκω φωνὴν, ἐν μέρος τῶν παρόντων πως ἄξι-
ον, ἣν Ἡσαΐας περὶ ἡμῶν ἀνεφθέγξατο σφόδρα τῷ νῦν καιρῷ
Ησ. με. η. πρέπουσαν, καὶ τῷ μεγέθει τῆς εὐεργεσίας ἁμιλλωμένην. Εὐφραι-
νέσθω ὁ οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην, ῥη-
ξάτω τὰ ὄρη εὐφροσύνην, καὶ οἱ βουνοὶ ἀγαλλίασιν· ἐπεὶ καὶ πᾶσα
κτίσις, καὶ δυνάμεις οὐράνιοι, καὶ τῶν τοιούτων, ὥς γε δὴ ὁ ἐμὸς λόγος,
Ρωμ. η. κϛ. συνεπαισθάνονται. οὐ γὰρ συστενάζει μόνον καὶ συνωδίνει δουλεύουσα

"κύματα·] τὴν Ἰουλιανοῦ κακίαν. ἐπὶ δύο γὰρ ἔτη ὁ τρισκατάρατος ἐβασί-
λευσεν· ἐπὶ δὲ πέντε ἔτη Καῖσαρ ἐγένετο προβαλομένου αὐτὸν Κωνσταντίου.

τῇ

τῇ φθορᾷ, τοῖς κάτω λέγω γινομένοις τε καὶ ἀπογινομένοις, * ἀποκαραδοκοῦσα τὸ τέλος τούτων, καὶ τὴν ἀποκάλυψιν, ἵνα καὶ αὐτὴ τότε τύχῃ τῆς ἐλπιζομένης ἐλευθερίας, ὡς νῦν ἄκουσα τούτοις προσδεδεμένη διὰ τὴν τοῦ δημιουργήσαντος δύναμιν· ἀλλὰ καὶ συνδοξάζει καὶ συναγάλλεται τοῖς τοῦ Θεοῦ τέκνοις εὐφραινομένοις. τοιγαροῦν (οὐ γὰρ ἀφέξομαι θείων φωνῶν θείαν ἐξηγουμένος δύναμιν) ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον· ἡ χήρα πρὶν καὶ Ἠσ. λε. α.
παρ[illegible] (ὥς γε ἐδόκει) καὶ ἄνυδρος ἐκκλησία, καὶ πᾶς ὁ τῷ φθονερῷ καὶ ἀτερπεῖ χειμῶνι τῆς ἀσεβείας τέως συνεσταλμένος· ὅτι ἠλέησε κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλέλοιπεν· ὅτι ἐποίησε θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν· ἤγουν, εὐδοκεῖν ἐπὶ τοὺς φοβουμένους αὐτὸν, καὶ τοὺς ἐλ- Ψαλ. ρζ. ιϛ.
πίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ· ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν· ὅτι εἰ διὰ τὰς ἀνομίας ἡμῶν ἐταπεινώθημεν, ἀλλ' ἀνεκλήθημεν, καὶ τῆς παγίδος συντριβείσης ἐρρύσθημεν, ἐν χάριτι τοῦ καλέσαντος ἡμᾶς, καὶ τοὺς ταπεινοὺς τῇ Ψαλ. ρκγ. ζ.
καρδίᾳ παρακαλοῦντος Θεοῦ.

Ὁρᾶτε ὅπως πλέκω τὴν ᾠδὴν θείοις καὶ ῥήμασι καὶ διανοή-
κ. καλλωπίζομαι, μασι· καὶ οὐκ οἶδ' ὅπως ἀλλοτρίοις ἐπαίρομαί τε καὶ " ἐγκαλλωπίζομαι, καὶ ὥσπερ ἔνθους ὑφ' ἡδονῆς γίνομαι· ἀτιμάζω δὲ ἅπαν ταπεινὸν καὶ ἀνθρώπινον, ἄλλα ἄλλοις συμβιβάζων καὶ συναρμόζων, καὶ εἰς ἓν ἄγων τὰ τοῦ αὐτοῦ πνεύματος. παρέτρεχον μὲν ὅσων ἐδείκνυ τοῦ
Θεοῦ τὰ θαυμάσια, Ἐνὼχ μετατιθέμενος· Ἠλίας ἀναλαμβανό- Γεν. ε.
μενος· Νῶε διασωζόμενος καὶ διασώζων τὰ σπέρματα τῶν γενῶν δ. Βασ. β.
(ἐν μικρῷ ξύλῳ τὸν κόσμον) φυγόντων οἰκουμένης ἐπίκλυσιν, ἵν' Γεν. ζ.
ἡ γῆ κοσμηθῇ πάλιν εὐσεβεστέροις οἰκήτορσιν· Ἀβραὰμ καλού- Γεν. ιη.
μενος, καὶ παιδὶ παρὰ ἡλικίαν τιμώμενος (εἰς πίστιν ἑτέρου τοῦ ἐ-
παγγελμένου σπέρματος) καὶ τὸν μονογενῆ προσφέρων θυ- Γεν. κβ.

* ἀποκαραδοκοῦσα] ἐπιμελῶς ἐπιτηροῦσα, καὶ ἀπεκδεχομένη.

σίαν προέθυμον, καὶ ἱερεῖον ξένον ἀντὶ τοῦ παιδὸς κομιζόμενος·
Γεν. ιθ. παράδοξος ἀσεβῶν ἀπώλεια πυρὶ καὶ θείῳ κατακλυσθέντων·
εὐσεβῶν κλοπὴ παραδοξοτέρα· στήλη ἁλὸς τὴν πρὸς τὸ κακὸν
Γεν. μα. ἐπιστροφὴν θριαμβεύουσα· Ἰωσήφ τε πιπρασκόμενος, καὶ ἐρώ-
μενος, καὶ σωφρονῶν, καὶ τὰ παρὰ Θεοῦ σοφιζόμενος, καὶ ἐλευθερούμε-
Ἐξοδ. γ. καὶ νος, καὶ δυναστεύων, καὶ σιτοδοτῶν ἐπ' οἰκονομίᾳ μείζονι· Μωσῆς θεο-
λδ. Ἐξ. κ. φανείας ἀξιούμενος, καὶ νομοθετούμενος, καὶ νομοθετῶν, καὶ Θεὸς Φα-
ραὼ γινόμενος, καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας τὸν Ἰσραὴλ ἐξη-
γούμενος· Αἰγυπτίων τε ἀριθμούμεναι μάστιγες, καὶ σωτηρία τῶν
Ἐξοδ. ιδ. πονουμένων ἐν μέσοις τοῖς Αἰγυπτίοις· θάλασσά τε ἀποχωροῦσα
ῥάβδῳ, καὶ συνιοῦσα λόγῳ, καὶ τοῖς μὲν ὡς ξηρὰ παραπέμπουσα,
τοῖς δὲ κατὰ τὴν φύσιν ἑαυτῆς ἐπιρρέουσα· τἆλλα τε ὅσα τούτοις ἐ- κ. τοῦ
πηκολούθησε, στῦλος νεφέλης ἐπισκιάζων ἡμέρας, στῦλος πυρὸς
φωτίζων νυκτὸς, καὶ ὁδηγοῦντες ἀμφότεροι· ἄρτος ὑόμενος ἐν ἐρή-
Ἐξοδ. ιϛ. μῳ, ἄρτον ἐξ οὐρανοῦ πεμπόμενον, ὁ μὲν τῇ χρείᾳ σύμμετρος, ὁ δὲ καὶ
παρὰ τὴν χρείαν· ὕδωρ ἐκ πέτρας, ὃ μὲν ἐκδιδόμενον, ὃ δὲ
Ἐξοδ. ιζ. γλυκαινόμενον· Ἀμαλὴκ εὐχῇ καταπολεμούμενος, καὶ χειρῶν ἀ-
πορρήτῳ καὶ μυστικῷ σχήματι· ἥλιός τε ἱστάμενος, καὶ σελήνη κατεχο-
Ἰησ. ι. ϛ. μένη, καὶ Ἰορδάνης ἀνακοπτόμενος· τείχη κατασειόμενα ἱερέων περι-
όδῳ, καὶ σαλπίγγων ἠχῇ, καὶ ἀριθμῷ δύναμιν ἔχοντι· γῆ καὶ πόκος κ. ῥυθμῷ
Κριτ. ϛ. ἐναλλὰξ ὑόμενα καὶ ἄβροχα διαμένοντα· δύναμις ἐν θριξὶ
Κριτ. ιϛ. στρατιᾶς ὅλης ἀντίρροπος· λογάδες ὀλίγοι λάπτοντες, καὶ νικᾶν πι-
Κριτ. ζ. στευόμενοι, καὶ νικῶντες κατὰ τὰς ἐλπίδας, ὁ βραχὺς ἀριθμὸς τὰς
πλείονας χιλιάδας.

Τί με δεῖ καταριθμεῖν ἕκαστα ὅσα διὰ τοῦ Χριστοῦ κατὰ τὴν σω- ρ. δι' αὐτοῦ
τήριον αὐτοῦ παρουσίαν καὶ σάρκωσιν, ὅσα μετ' ἐκεῖνόν τε καὶ δι' ἐκεῖνον
τοῖς ἱεροῖς ἀποστόλοις αὐτοῦ καὶ ὑπηρέταις τοῦ λόγου τεθαυματούρ-
γηται; πόσαι ταῦτα καὶ βίβλοι καὶ μνῆμαι φέρουσι; τὰ δὲ νῦν δεῦ-
Ψαλμ. ξϛ. τε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεόν,
Ψαλμ. οζ. α. ὅπως ἂν γνῶτε νέα ἕτερα καὶ διάδοχα μεγέθη τῆς τοῦ Θεοῦ δυνα-
στείας

στείας τὰ θαύματα. ἐπεὶ δὲ οὐχ οἷόν τε ταῦτα δηλῶσαι μὴ οὐ τοῦ κινδύνου παραστήσαντας μέγεθος (τοῦτο δὲ οὐχ οἷόν τε μὴ οὐ τοῦ τρόπου κακόηθες διελέγξαντας, ὃς ἐξ οἵων ἀρχῶν καὶ τῆς κακίας ἀπαρξάμενος ἐπὶ τὴν κακοδαιμονίαν ταύτην ἐξέπεσε, κατὰ μικρὸν τὴν ἀσέβειαν συναυξήσας, ὥσπερ τὸν ἰὸν τῶν ἑρπετῶν καὶ τῶν θηρίων ὅσα πικρότατα) πάντα μὲν ἐκτραγῳδεῖν τὰ ἐκείνου βίβλοις καὶ ἱστορίαις παρήσομεν (οὐ γὰρ ἡμῖν γε σχολὴ μακροτέρα τῆς παρούσης ὑποθέσεως ῥαψῳδεῖν) αὐτὰ δὲ ὀλίγα ἐκ πολλῶν διελθόντες, στηλογραφίαν ὥσπερ τινὰ τοῖς μεθ' ἡμᾶς καταλειψόμεθα, ἐπὶ τὰ κυριώτατα καὶ περιφανέστατα τῶν κατ' ἐκεῖνον τῷ λόγῳ χωρήσαντες. ἐκεῖνος, ἓν μὲν καὶ πρῶτον, ὑπὸ τοῦ μεγάλου Κωνσταντίου σωθεὶς ἄρτι παρὰ τοῦ πατρὸς διαδεξαμένου τὸ κράτος (ἡνίκα τὸ στρατιωτικὸν ἐξωπλίσθη κατὰ τῶν ἐν[y] τέλει, καινοτομίᾳ φόβῳ καινοτομίας, καὶ διὰ νέων προστατῶν καθίστατο τὰ βασίλεια) καὶ σωθείς γε σὺν τῷ ἀδελφῷ σωτηρίαν ἄπιστον καὶ παράδοξον, οὔτε τῷ Θεῷ χάριν ἔσχε τῆς σωτηρίας, οὔτε τῷ βασιλεῖ, δι' οὗ σέσωστο, ἀλλ' ἀμφοτέροις ὤφθη κακός, τῷ μὲν ἀποστασίαν ὠδίνων, τῷ δὲ ἐπανάστασιν.

Ὃ δέ μοι[z] περὶ τούτων εἰπεῖν ἀναγκαῖον, διαίτης μὲν καὶ θεραπείας ἔν τινι τῶν βασιλικῶν χωρίων ἠξιοῦντο βασιλικῆς παρὰ τοῦ φιλανθρωποτάτου βασιλέως, ὡς τοῦ γένους λείψανα τῇ βασιλείᾳ τηρούμενοι· ὁμοῦ μὲν ἀπολογίαν ἐπινοοῦντος τῶν νεωτερισθέντων ἐν ἀρχῇ τῆς βασιλείας, ὡς οὐ κατ' ἐκείνου γνώμην τετολμημένων· ὁμοῦ δὲ καὶ τὸ μεγαλόψυχον ἐπιδείξασθαι ζητοῦντος τῇ κοινωνίᾳ τῆς βασιλείας· καὶ τρίτον, τὴν ἀρχὴν καταστήσασθαι ταῖς προσθήκαις βεβαιοτέραν· ὅπερ ἦν διανοουμένου χρηστότερα ἢ σοφώτερα. ἐπεὶ δὲ ἦγον ἀπὸ πάντων σχολὴν (τῆς μὲν βασιλείας

---

[y] ἐν τέλει] τὸ τέλος πολλαχῶς λέγεται· τέλος γὰρ ἡ ἀρχή, ὡς νῦν· τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσι. τέλος καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελές, τὸ πολυανάλωτον. τέλος καὶ τὸ πέρας. τέλος καὶ τὸ τάγμα κατὰ στρατόν. Ἐν τελέεσσιν. Ὅμηρος.

[z] περὶ τούτων] περὶ τῆς ἀποστάσεως, καὶ τῆς ἐπαναστάσεως.

μηνυούσης ἔτι καὶ μηδέπω μεμαθηκότες, τῆς δὲ ἡλικίας ἅμα καὶ τῆς ἐλπίδος τὸ δεύτερον αὐτοῖς τὴν ἀρχὴν οὐ προσαγούσης) ἐχρῶντο μὲν καὶ τῇ τῶν ἄλλων παιδευταῖς μαθημάτων (πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν ἐκπαιδεύοντος αὐτοὺς τοῦ θείου καὶ βασιλέως) ἐχρῶντο δὲ καὶ τῇ καθ' ἡμᾶς φιλοσοφίᾳ πλέον, οὐ τῇ περὶ λόγους μόνον, ἀλλ' ὅση καὶ διὰ τῶν ἠθῶν ἔχει τὸ εὐσεβές· ἀνδρῶν τε τοῖς σπουδαιοτάτοις προσομιλοῦντες, καὶ πράξεων ταῖς χαριεστάταις καὶ πολλὴν ἐχούσαις τῆς ἀρετῆς τὴν ἐπίδειξιν, τῷ μήν γε κλήρῳ φέροντες ἑαυτοὺς ἐγκατέλεξαν, ὥστε καὶ τὰς θείας ὑπαναγινώσκειν τῷ λαῷ βίβλους, οὐδὲ τοῦτο ἔλαττον εἰς δόξαν αὐτοῖς τοῦτο εἶναι νομίζοντες, ἀλλὰ καὶ παντὸς μεῖζον καλλώπισμα, τὴν εὐσέβειαν· μαρτύρων τε μνήμασι πολυτελεστάτοις, καὶ ἀναθήμασι φιλοτιμίαις, καὶ πᾶσιν οἷς ὁ θεῖος φόβος χαρακτηρίζεται, τὸ φιλόσοφον καὶ φιλόχριστον κατεμήνυον· ὁ μὲν καὶ κατ' ἀλήθειαν εὐσεβῶν (καὶ γὰρ ἦν, εἰ καὶ τὴν φύσιν θερμότερος, ἀλλ' οὖν γνήσιος εἰς εὐσέβειαν) ὁ δέ, τὸν χαιρεῖν ὀξωνούμενος, καὶ κρύπτων ἐν ἐπιεικείας πλάσματι τὸ κακόηθες. τεκμήριον δὲ (καὶ γὰρ οὐκ ἂν δυναίμην παραδραμεῖν τὸ συμβὰν θαῦμα, σφόδρα τε μνήμης ἄξιον καὶ πολλοὺς παιδεῦσαν τὴν ἀσεβῶν δυνάμιν) ἔκαμνον μὲν τοῖς μάρτυσιν (ὅπερ εἶπον) ἀμφότεροι, καὶ ἀντεφιλοτιμοῦντο λαμπρότερον ἀλλήλοις, καὶ χειρὶ πολλῇ τῇ δαπάνῃ τὸν οἶκον ἐγείροντες· ἐπεὶ δὲ οὐκ ἐκ τῆς αὐτῆς προαιρέσεως, οὐδὲ εἰς ὅμοιον πέρας προέβαινεν ἀμφοτέροις ὁ πόνος. τοῦ μὲν γὰρ τὸ ἔργον ἤνυεν, καὶ κατὰ λόγον ἐχώρει, τοῦ πρεσβυτέρου λέγω τῶν ἀδελφῶν, οἷα τοῦ Θεοῦ τὴν ἐπίδοσιν ἑτοίμως προσιεμένου, κατὰ τὴν Ἄβελ θυσίαν, ὀρθῶς καὶ προσενεχθεῖσαν καὶ διαιρεθεῖσαν, καὶ ἣν ὥσπερ πρωτοτόκου τις καθιέρωσις ἡ ἐπίδοσις. τοῦ δὲ (φεῦ τῆς ἐντεῦθεν ἤδη τῶν ἀσεβῶν ἀτιμίας τὰ ἐκεῖθεν μαρτυρουμένης, καὶ μικροῖς μηνύμασι τὰ μεγάλα προκηρυττούσης) ὥσπερ τὴν Κάϊν θυσίαν, ὁ τῶν μαρτύρων Θεὸς ἀπεπέμπετο. καὶ ὁ μὲν ἐπόνει, ἡ γῆ δὲ τὸ πονηθὲν ἀπεσείετο· καὶ ὁ μὲν ἐφιλονείκει μᾶλλον, ἡ δὲ ἀπηξίου δέχεσθαι

Al. πρωτοτόκων

σθαι θεμελίους τοῦ σαθροῦ πρὸς εὐσέβειαν, οἷα βοῶσα τὸν ἐσόμενον ἐξ ἐκείνου σεισμὸν, καὶ τιμῶσα τοὺς μάρτυρας τῇ περὶ τὸν ἀσεβέστατον ἀτιμίᾳ.

Τοῦτο δὲ ἔργον προφητεία τις ἦν τῆς ὕστερον τοῦ ἀνδρὸς αὐθαδείας καὶ ἀπονοίας, καὶ τῆς εἰς μάρτυρας ἀτιμίας, καὶ περὶ τοὺς ἁγίους οἰκείας παρανομίας, τοὺς μὲν ἄλλους λανθάνουσα, Θεὸν δὲ διώκτην πόρρωθεν προδιώκουσα, καὶ τὰ τῆς ἀσεβείας ἐπίχειρα προσημαίνουσα. ὢ ψυχῆς σοφῆς εἰς τὸ κακοποιῆσαι, τὴν δὲ ἰδίαν οὐ φρουρούσης βάσανον· ὢ Θεοῦ τὸ μέλλον κρύπτοντος, ἵν' ἀνακόψῃ τὴν ἀσέβειαν, ἢ δείξῃ τὴν πρόγνωσιν· ὢ παραδόξου μὲν, ἀληθοῦς δὲ πλέον ἢ παραδόξου θαύματος· ὢ τῆς τῶν μαρτύρων φιλαδελφίας. οὐκ ἐδέξαντο τιμὴν τοῦ πολλοὺς μάρτυρας ἀτιμάσοντος, οὐ προσήκαντο δῶρον τοῦ πολλοὺς ἀθλητὰς ἀποδείξοντος,
γρ. καὶ τῆς μᾶλλον δὲ φθονήσοντος'' καὶ αὖθις τῆς ἀθλήσεως· ἢ τό γε ἀληθέστερον εἰπεῖν, οὐκ ἠνέσχοντο μόνοι μαρτύρων ὑβρίζεσθαι, τῶν ἄλλων
γρ. τεθεισομένων ἀλλ. τεθησομένων ὁσίαις χερσὶ'' τεθησομένων τε καὶ θεραπευθησομένων, οὐδὲ δοῦναι τῷ σοφιστῇ τῆς κακίας, ταῖς ὕβρεσιν ἐγκαυχήσασθαι· ἵνα μὴ παρὰ τῆς αὐτῆς χειρὸς τὰ μὲν ἀνίστηται μαρτύρων μνήματα, τὰ δὲ καταλύηται, καὶ οἱ μὲν τιμῶνται μάρτυρες, οἱ δὲ ἀτιμάζωνται (μικρὸν φθανούσης τῆς ἐν σχήματι τιμῆς τὴν ἀληθινὴν ἀτιμίαν) μηδὲ πρὸς τῷ μεγέθει τῆς ὕβρεως καὶ σοφὸς εἶναι νομίσῃ παρ' ἑαυτῷ, λανθάνων ὥσπερ ἀνθρώπους, οὕτω καὶ Θεὸν τὸν πάντων ὀξύτατον καὶ σοφώτατον καὶ δρασσόμενον τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, διὰ τοῦ φαινομένου[a] προβλήματος, ἀλλὰ γινώσκῃ νοούμενος, καὶ μὴ ὑφαίρηται καταλαμβανόμενος. Εἰ γὰρ καὶ τὴν ἀσέβειαν οὐκ ἐπέσχεν ὁ τῶν μαρτύρων Θεὸς, οὐδὲ τὴν μελετωμένην καὶ κρυπτομένην κακίαν, ὥσπερ ῥεῦμα* πονηρὸν εὐθὺς ἀνεξήρανεν ἢ ἀνέκοψεν (οἷς αὐτὸς ἠπίστατο λόγοις κατὰ τὴν ἄρρητον αὐτοῦ σοφίαν τε

[a] προβλήματος.] τὸ γὰρ φαινόμενον Ἰουλιανοῦ πρόβλημα περὶ τῆς βασιλείας εὐσεβὲς ἐδόκει καὶ ἥμερον.

καὶ

Γενέσ. ιε. ἐκυβερνήθη; καθ' ἣν καὶ τὰς Ἀμορραίων ἀνομίας δεῖ ἀποπληρωθῆναι
ἀνέμενε) ἀλλ' ἔδει τήν τε κακοήθειαν μισηθῆναι, καὶ τὴν πημονὴν
ἀπωσθῆναι τῶν πολλῶν ἕνεκεν, καὶ δειχθῆναι τοῦ Θεοῦ τὴν περὶ
πάντα τὰ προσφερόμενα ἰσότητά τε καὶ καθαρότητα. ὁ γὰρ
Ησ. α. ιγ. εἰπὼν, ἀπέστραμμαι, ὦ Ἰσραὴλ, ἐὰν προσφέρητε σεμίδαλιν, γρ. προσφέρητε
μάταιον, θυμίαμα βδέλυγμά μοί ἐστι· τάς τε νουμηνίας αὐτῶν γρ. νεομηνίας
καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐ προσιέμενος (μηδὲ γὰρ
δεῖσθαι, πλήρης ὤν, μηδενὸς τῶν ἀνθρωπίνων τε καὶ μικρῶν, ἵνα
Ησ. ξϛ. γ. χαίρῃ καὶ τοῖς ἀναξίως προσφερομένοις) τήν τε τοῦ ἀνόμου θυσίαν, κἂν ᾖ μόσχος, ὡς κυνὸς βδελυττόμενος, καὶ ὡς βλασφημίαν
Δευτ. κγ. ιη. τὸν λίβανον· καὶ ἄλλαγμα πόρνης ἐξορίζων τοῦ ἱεροῦ καὶ ἀποσειόμενος, μόνην δὲ θυσίαν τιμῶν, ἣν καθαραὶ καὶ καθαρωτάτῳ προσφέρουσι χεῖρες, καὶ νοῦς ὑψηλός τε καὶ ἡγνισμένος· τί θαυμαστὸν, εἰ μηδὲ τὴν ἐκείνου τιμὴν προσεδέξατο, πονηρῶς τε, καὶ μετὰ πονηρᾶς τῆς διανοίας προσαγομένην, ὁ μὴ καθορῶν ὡς ἄνθρωπος, μηδὲ εἰς τὸ φαινόμενον βλέπων, ἀλλ' εἰς τὸν κρυπτὸν ἄνθρωπον, καὶ εἰς τὸ ἔνδον τῆς κακίας ἢ τῆς ἀρετῆς ἐργαστήριον;

Τοῦτο μὲν δὴ τοιοῦτο. εἰ δ' εἴ τις ἀπιστεῖ, τοῖς τεθεαμένοις αὐτοῖς ἐπιμαρτυρόμεθα. πολλοὶ δὲ εἰσιν, οἳ καὶ ἡμῖν, καὶ τοῖς ἔπειτα, τὸ θαῦμα τοῦτο παρέπεμψάν τε, καὶ παραπέμψουσιν. ἐπεὶ δὲ εἰς ἄνδρας προϊόντες ἤδη τῶν ἐν φιλοσοφίᾳ δογμάτων ἥψατο (ὡς μήποτε ὤφελεν) καὶ τὴν ἐκ τοῦ λόγου προσελάμβανον δύναμιν (ἣ τοῖς μὲν ἐπιεικέσιν ἀρετῆς ὅπλον, τοῖς δὲ μοχθηροτέροις κέντρον κακίας γίνεται) οὐκέτι κατέχειν ὅλην τὴν νόσον οἷός τε ἦν, οὐδὲ παντελῶς τὸν τῆς ἀσεβείας δόλον ἐν ἑαυτῷ μόνῳ φιλοσοφεῖν, ἀλλ' ὥσπερ πῦρ ἐμφωλεῦον ὕλῃ (κἂν μήπω πρὸς φλόγα λαμπρὰν ἀρθῇ) σπινθῆρές τινες ἐξάπτοντες ἢ καπνὸς ἐκ βάθους ὑποσημαίνουσιν· εἰ βούλει δὲ, τῶν πηγῶν αἱ [b] σήραγγάς τινας ὑποτρέ-

(Right margin: γρ. τοιοῦτον · γρ. δὲ · γρ. φιλοσοφεῖ · γρ. ἐξάπτον · ἄλ. ἐξάπτοντες)

[b] Σήραγγες] αἱ ὑπὸ γῆν ἐπιμήκεις ῥήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς, ἃς ὑπορρέον τὸ ὕδωρ ἐπιζητεῖ διέξοδον. ἐντεῦθεν καὶ σηραγγώδης τόπος εἴρηται διατετρημένος.

χουσαι

χουσαι μετὰ πνεύματος, εἶτ' εὐρυχωρίαν οὐκ ἔχουσαι οὐδὲ διέξοδον ἐλευθέραν, πολλαχοῦ τῆς γῆς ἀναφυσῶσι καὶ ὑπηχοῦσι κάτωθεν, ὑπὸ μὲν τοῦ πνεύματος ἀνωθούμεναι, ὑπὸ δὲ τῆς ἄνωθεν βίας κατεχόμεναί τε καὶ ἀνακοπτόμεναι· οὕτω καὶ αὐτός, τὸ μὲν πολὺ τῆς ἀσεβείας κατέκρυπτεν ὑπὸ τοῦ καιροῦ καὶ τῆς τοῦ [c] κρατοῦντος παιδαγωγίας (οὔπω γὰρ τὸ φανερῶς ἀσεβεῖν ἦν ἀσφαλές)
γρ. ὅποι ἔστι δ' ὅπη καὶ προεγύμνου τὸ τῆς γνώμης ἀπόρρητον τοῖς ὀξυτέροις τὴν ἀσέβειαν ἢ τὴν [d] σύνεσιν, ἔν τε τοῖς πρὸς τὸν ἀδελφὸν λόγοις, πλέον ἢ καλῶς εἶχεν, ὑπὲρ Ἑλλήνων διατεινόμενος (προφάσει δῆθεν ὡς τὸν ἥττω γυμνάζων λόγον· τὸ δὲ ἦν ὄντως γυμνασία κατὰ τῆς ἀληθείας) καὶ πᾶσι χαίρων οἷς ἀσεβὴς τρόπος χαρακτηρίζεται. ἐπεὶ δὲ τὸν μὲν ἀδελφὸν ἡ φιλανθρωπία τοῦ
γρ. ἐγχειρίζει αὐτοκράτορος ἀποδείκνυσι βασιλέα, καὶ μέρος οὐκ ὀλίγον ἐγχειρίζεται τῆς οἰκουμένης, ᾧ δὲ ὑπῆρχε κατὰ πολλὴν ἐξουσίαν καὶ ἄδειαν καὶ λόγων καὶ διδασκάλων τοῖς ὀλεθριωτάτοις προσομιλεῖν (Ἀσία δ' ἦν αὐτῷ τὸ τῆς ἀσεβείας διδασκαλεῖον, ὅση τε περὶ ἀστρονομίαν καὶ τὰς γενέσεις καὶ φαντασίαν προγνώσεως τερατεύεται), καὶ τὴν ἑπομένην τούτοις γοητικήν) ἓν ἔτι τὸ λεῖπον ἦν, προστεθῆναι τῇ ἀσεβείᾳ καὶ δύναμιν. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ταύτην δίδωσιν αὐτῷ καθ' ἡμῶν ἡ πληθυνθεῖσα τῶν πολλῶν ἀνομία, καὶ ἡ
γρ. ἄκρων, ἐπ' ἄκρον, ὡς ἂν εἴποι τις, Χριστιανῶν εὐεξία τὴν ἐναντίαν ζη-
γρ. ὧν τοῦσα μεταβολήν, καὶ ἡ ἐξουσία, καὶ ἡ τιμή, καὶ ὁ κόρος, δι' ὧν ὑβρίσαμεν. [e] ὧ ὅτι γὰρ κινδυνεύει χαλεπώτερον εἶναι τὸ κατασχεῖν τὰ ἀγαθά, τοῦ μὴ παρόντα κτήσασθαι, καὶ ῥᾷον ἀπελθοῦσαν εὐημερί-

---

[c] κρατοῦντος] Ὡς εἰ ἔλεγεν· εἰς ὅσον αὐτῷ συνῆν ὁ πρεσβύτερος ἀδελφός, ἐκώλυεν αὐτὸν τῆς φανερᾶς αὐτοῦ καὶ τελειωτάτης ἀπονοίας. [d] Σύνεσιν] Ἡ ὁμοιός τις αὐτὸν ἐνόει ἐκ τῶν λεγομένων, ἢ συνετὸς χριστιανὸς ἠσθάνετο, ὅτι οὐχ ὑγιαίνει κατὰ τὴν σωτήριον ἡμῶν φιλοσοφίαν. [e] ὧ ὅτι] Ὅ, φησι, εὐχερές ἐστι, τοῦτο δυσχερὲς ἡ κακία ποιεῖ. φύσει μὲν γὰρ εὐχερὲς τὸ φυλάξαι τὰ ἀγαθὰ ἤδη κτηθέντα, δυσχερὲς δὲ τὸ κτήσασθαι. ἀλλ' ἡμεῖς ἐν ταῖς εὐπραγίαις ὑβρίζοντες τοὐναντίον ποιοῦμεν, εὐχερὲς μὲν τὸ κτήσασθαι, δυσχερὲς δὲ τὸ φυλάξαι. ἔστι δὲ Δημοσθενικόν.

ἂν ἀνακαλέσασθαι δι' ἐπιμελείας, ἢ τὴν ὑπάρχουσαν διασώσασθαι.
Παρ. ιϛ. ιη. Ἐπεὶ δὲ πρὸ μὲν συντριβῆς ἡγεῖται ὕβρις, αἱ παροιμίαι καλῶς φασιν, πρὸ δὲ δόξης ταπείνωσις· ἢ ἵνα σαφέστερον εἴπω, ὕβρει μὲν ἐπέπετο συντριβή, ταπεινώσει δὲ εὐδοξία.
Ἰωάν. δ. ϛ. Παρ. λγ. δ. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν, καὶ ἀντιτάσσει τὰ [f] ἐναντία τοῖς ἐναντίοις ὁ πάντα δικαίως ἐπιμετρῶν. Ταῦτα εἰδὼς
Ψαλμ. ριη. ξζ. οα. καὶ ὁ θεῖος Δαβίδ, ἐν τῷ τῶν ἀγαθῶν καὶ τὸ συνεστάλθαι τίθεται, καὶ χάριν ὁμολογεῖ τῷ συστείλαντι, ὡς τοῦ τὰ δικαιώματα μαθεῖν ἐντεῦθεν περιγινομένου· καὶ πρὸ τοῦ με ταπεινωθῆναι, φησιν, ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα· [g] μέσην πλημμελείας τε καὶ διορθώσεως τιθεὶς τὴν ταπείνωσιν, ὡς ἐκ μὲν ταύτης γινομένην, τὴν δὲ γεννήσασαν. Ἁμαρτία μὲν γὰρ ταπεινώσεως μήτηρ, ἐπιστροφῆς δὲ ταπείνωσις. Ἡμεῖς γοῦν ὑψωθέντες, ὅτε ἦμεν ἐπιεικεῖς τε καὶ μέτριοι, καὶ κατὰ μικρὸν αὐξηθέντες, ὡς εἰς τόδε τὸ σχῆμα καὶ πλῆθος ἡ χειραγωγία Θεοῦ παρελ-
Δευτ. λβ. ιε. θεῖν, ἡνίκα ἐλιπάνθημεν, ἐσκιρτήσαμεν· καὶ ἡνίκα ἐπλατύνθημεν, ἐστενοχωρήθημεν· καὶ ἣν ἐν τοῖς διωγμοῖς καὶ ταῖς θλίψεσι συνελεξάμεθα δόξαν καὶ δύναμιν, ταύτην εὖ πράττοντες κατελύσαμεν. Δηλώσει δὲ τὰ ἑξῆς τοῦ λόγου. Ὅρον μὲν ἡ βασιλεία τῷ Καίσαρι καὶ [h] ὁ βίος λαμβάνει (τὰ γὰρ ἐν μέσῳ σιωπήσομαι, φειδοῖ καὶ τοῦ πεποιηκότος, καὶ τοῦ πεπονθότος· ὧν ἀμφοτέρων αἰδούμενος τὴν εὐσέβειαν, οὐκ ἐπαινῶ τὴν θρασύτητα. Ἐπεὶ γὰρ ἔδει τι καὶ ἁμαρτεῖν ὄντας ἀνθρώπους, τοῦτό ἐστιν ὃ τάχα ἂν

[f] ἐναντία ἐναντίοις.] Ἐάν τις ἐναντίῳ τῇ κακίᾳ, καὶ ἀντιτάξει αὐτῷ τὸ ἐναντίον τῇ κακίᾳ, ἔμμισθον τὴν ἀρετήν, καὶ ὅτι τοῦ ἐναντίου τὸ ἐναντίον.

[g] μέσην] Πρῶτον ἡ ἁμαρτία, εἶτα δεύτερον ἡ ταπείνωσις, καὶ τρίτον ἡ κατὰ τὸ φυλάξαι τὸ λόγιον κυρίου διόρθωσις. μέση τοίνυν, ὡς ὁρᾷς, ἀμφοῖν ἡ ταπείνωσις.

[h] ὁ βίος λαμβάνει] Ὁ βίος λαμβάνει πέρας, καὶ τοῦ πεποιηκότος Καίσαρα τὸν ἀδελφὸν τοῦ Ἰουλιανοῦ, καὶ τοῦ πεπονθότος τὴν σφαγὴν αὐτοῦ τοῦ Καίσαρος· ἀμφοτέρων ὁ βίος, φησίν, ὅρον καὶ πέρας εἶχεν· οὐκ ἀμφοτέροις δέ, ἀλλὰ μόνῳ τῷ Καίσαρι, ἡ βασιλεία καὶ ὁ βίος ὅρον εἶχεν.

ταῖς

τὶς ἀμφοτέρων οὐκ[i] ἐπαινέσειεν· εἰ μὴ κἀνταῦθα, δι' ὧν τοῦ ἑ-
τέρου κατηγορήσομεν, τὸν ἕτερον αἰτίας ἀφήσομεν) ὁ δ' εὐθὺς μὲν
κληρονόμος τῆς τοῦ ἀδελφοῦ βασιλείας, ἀλλ' οὐκ εὐσεβείας, μικρὸν
δὲ ὕστερον καὶ τοῦ βασιλεύσαντος αὐτὸν γενόμενος, τοῦ μὲν ἑκόντος, τοῦ δὲ
καὶ βιασθέντος τῷ κοινῷ τέλει, καὶ ἡττηθέντος ἧτταν παντὶ τῷ
κόσμῳ κακίω καὶ ὀλέθριον. τί τοῦτο, ὦ θειότατε βασιλέων,
καὶ φιλοχριστότατε (προσάγομαι γὰρ ὡς παρόντι καὶ ἀκούοντι μέμ-
ψασθαι, καὶ εἰ πολὺ κρείττονα γινώσκω τῆς ἡμετέρας μέμψεως,
μετὰ τοῦ Θεοῦ τεταγμένον, καὶ τῆς ἐκεῖ δόξης κληρονομήσαντα, καὶ
τοσοῦτον μεταχωρήσαντα, ὅσον μεταθέσθαι τὴν βασιλείαν) τίνα ταύ-
την ἐβουλεύσω βουλὴν, πάντων συνέσει καὶ ἀγχινοίᾳ κατὰ πολὺ
διαφέρων, οὐ τῶν ἐπὶ σοῦ βασιλέων μόνον, ἀλλὰ καὶ τῶν ἔμπροσ-
θεν· ὁ δὲ βαρβαρικὴν ἀνακαθαίρων κύκλῳ, καὶ τοὺς οἴκοι τυράννους
χειρούμενος, τοὺς μὲν τοῖς λόγοις, τοὺς δὲ τοῖς ὅπλοις, καὶ τύπον ἑκά-
τερον, ὡς μηδὲν ὑπὸ τοῦ ἑτέρου διεχλευόμενος· οὗ μεγάλα μὲν
τρόπαια τὰ μετὰ ὅπλων καὶ μάχης, μείζω δὲ καὶ περιφανέστερα τὰ ἀ-
γρ. ὧν ναίμακτα· πρὸς ὃν καὶ αἱ πανταχόθεν πρεσβεῖαι καὶ ἱκεσίαι" ᾧ
τὰ μὲν ὑπήκουε, τὰ δὲ ἔμελλε, πᾶν δὲ ἦν τὸ ἐλπισθὲν ἴσον τῷ χει-
ρωθέντι· ὁ χειρὶ Θεοῦ πρὸς πᾶσαν καὶ βουλὴν καὶ πρᾶξιν ὁδη-
γούμενος· οὗ μᾶλλον μὲν τῆς χειρὸς ἡ σύνεσις, μᾶλλον δὲ τῆς συνέσεως
ἡ χεὶρ ἐθαυμάζετο, πλέον δὲ τῆς ἐν ἀμφοτέροις εὐδοκιμήσεως ἡ
εὐσέβεια; πῶς οὖν ἐνταῦθα μόνος ἀμαθὴς ἐφάνης καὶ[k] ἀπερί-
σκεπτος; τί δὲ τὸ τάχος τῆς ἀπανθρώπου φιλανθρωπίας; τίς συνεισ-
γρ. δαίμων ῆλθε" δαιμόνων τῷ σκέμματι; πῶς τὸν μέγαν κλῆρον καὶ τὸ πατρῷον
καλλώπισμα (τοὺς ἐπωνύμους λέγω Χριστοῦ) τὸ πανταχοῦ τῆς οἰ-
κουμένης ἐκλάμψαν ἔθνος, τὸ βασίλειον ἱεράτευμα, τὸ πολλῷ

---

[i] οὐκ ἐπαινήσειεν.] Δι' ὧν, φησίν, αἰτιῶν θατέρου τῶν βασιλέων κατηγορήσομεν, διὰ τούτων τὸν ἕτερον τῶν αἰτιῶν καὶ μέμψεων ἀπολύσομεν· ὅτι, κατηγοροῦμεν μὲν τοῦ ἑνὸς ἁμαρτίαν τινά, διὰ ταύτης τὸν ἕτερον αἰτίας ἀπολύσομεν· καὶ ἐπὶ τοῦ ἑτέρου ὁμοίως.

[k] ἀπερίσκεπτος.] Ἀνενδοίαστος.

πόνῳ καὶ πολλοῖς ἱδρῶσι συναυξηθὲν, οὕτως ἐν ὀλίγῳ καὶ [l] ἀκμῇ βραχείᾳ καιροῦ, τῷ κοινῷ [m] παλαμναίῳ φέρων παρέδωκας; ἴσως τι καὶ ἀσεβεῖν ὑμῖν (ἀδελφοὶ) φαινόμεθα, καὶ ἀγνωμονεῖν ἐν τοῖς λόγοις τούτοις, ὅτι μὴ ταχὺ τοῖς τῆς κατηγορίας ῥήμασιν ἐπάγω τὰ τῆς ἀληθείας· καίτοιγε ἱκανῶς ἀπολελόγημαι καὶ δι᾽ αὐτῶν ὧν ἐγκέκληκα (εἴ τι τῇ κατηγορίᾳ τὸν νοῦν προσέχετε) κἂν ταῦτα μόνον ἡ κατηγορία τὴν ἄφεσιν ἔχει. χρηστότητα γὰρ εἰπὼν, τὴν ἀπολογίαν ἐδήλωσα. τίς γὰρ οὐκ οἶδε καὶ τῶν μετρίως ἐκεῖνον ἐπισταμένων, ὅτι ἕνεκα μὲν εὐσεβείας, καὶ τοῦ περὶ ἡμᾶς φίλτρου, καὶ τοῦ βούλεσθαι πᾶν ἡμῖν ἀγαθὸν, μὴ ὅτι ἐκεῖνον περιεῖδεν ἄν, ἢ γένους ὅλου τιμὴν, ἢ παραθήκην τῆς βασιλείας, ἀλλὰ καὶ αὐτῆς τῆς βασιλείας, καὶ πάντων τῶν ὄντων, καὶ τῆς ψυχῆς αὐτῆς (ἧς οὐδὲν οὐδενὶ τιμιώτερον), τὴν ἡμετέραν ἀσφάλειάν τε καὶ σωτηρίαν οὐκ ἂν χαλεπῶς ἠλλάξατο; οὐδενὶ γὰρ οὐδεὶς οὕτω πώποτε πράγματος ἔρως θερμὸς ἐνέσκηψεν, ὡς ἐκείνῳ Χριστιανοὺς αὐξηθῆναι, καὶ ἐπὶ πλεῖστον καὶ δόξης προελθεῖν καὶ δυνάμεως· καὶ οὔτε ἔθνη χειρούμενα, οὔτε τὸ κοινὸν εὐνομούμενον, οὐ πλῆθος χρημάτων, οὐ δόξης περιουσία, οὐ τὸ βασιλέα βασιλέων καὶ εἶναι καὶ ὀνομάζεσθαι, οὐχ ὅσοις ἄλλοις ἀνθρώπων εὐδαιμονία γνωρίζεται, οὐδὲν οὕτω τῶν πάντων ἐκεῖνον ηὔφραινεν, ὡς τὸ δι᾽ ἑαυτοῦ μὲν ἡμᾶς, διὰ δὲ ἡμῶν ἐκεῖνον καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις εὐδοκιμεῖν, καὶ ἀκατάλυτον ἡμῖν εἰς τὸν ἅπαντα χρόνον παραμεῖναι τὴν δυναστείαν. καὶ γὰρ πρὸς τοῖς ἄλλοις ἐκεῖνο ᾔδει σαφῶς (ὑψηλότερόν τε καὶ βασιλικώτερον, ἢ κατὰ τοὺς πολλοὺς, περὶ τούτων διανοούμενος) ὅτι τοῖς Χριστιανῶν πράγμασι τὰ Ῥωμαίων συνηύξη-

---

[l] ἀκμῇ βραχείᾳ.] Ἀκμὴ καιροῦ, ἡ εὐτυχία· οὕτω καὶ Ἰσοκράτης· κράτιστον μετὰ τῆς ἀκμῆς τὸν καιρὸν τυγχάνειν. εὐτυχίαν γὰρ νῦν τὴν τοῦ βασιλέως Ἰουλιανοῦ.

[m] Τῷ παλαμναίῳ.] Τῷ φονικῷ δαίμονι. παλαμναίους γὰρ ἔλεγον τοὺς ὠμοτάτους, καὶ τιμωρητικοὺς δαίμονας.

στ.

στε, καὶ συνεισῆλθε τῇ [n] ἐπιδημίᾳ Χριστοῦ τὸ κράτος, οὔπω πρότερον τελείως εἰς μοναρχίαν νενικηκός· καὶ διὰ τοῦτο πλέον ἐδόκει μοι παραλείπειν, εὖ ποιῶν, τὰ ἡμέτερα. Ὅς γε, εἰ καὶ παρελύπησεν ἡμᾶς, οὐ παραφρονῶν, οὐδὲ ὑβρίζων, οὐδὲ ἄλλοις τισὶ περὶ ἡμῶν χαριζόμενος, ἀλλ' ὥστε πάντας ἓν εἶναι καὶ συμφρονεῖν, παρελύπησε, καὶ μὴ διακεκόφθαι μηδὲ διεστάναι τοῖς σχίσμασιν. ἀλλ', ὅπερ εἶπον, ἀφύλακτον ἡ ἁπλότης· καὶ μετὰ τοῦ σαθροῦ τὸ φιλάνθρωπον· καὶ ἥκιστα κακίαν ὑφορᾶται τὸ κακίας ἐλεύθερον. διὰ τοῦτο ἠγνοήθη τὸ μέλλον, καὶ τὸ πλάσμα οὐκ ἐφωράθη, καὶ παρεισῆλθε κατὰ μικρὸν ἡ ἀσέβεια, καὶ δύο χρηστότητες συνεισῆλθον ἀλλήλαις, ἥ τε περὶ τὸ εὐσεβὲς γένος, καὶ τὸν ἀσεβέστατον πάντων καὶ ἀθεώτατον. Ὅς, τί μεμφόμενος Χριστιανοῖς; τί δὲ οὐκ ἐπαινεῖν ἔχων τῶν ἡμετέρων; τί δὲ τῶν παρ' Ἕλλησι δογμάτων ὑπερφυὲς νομίσας καὶ δυσκίνητον λόγῳ; ποίῳ δὲ καὶ ἀκολουθῶν ὑποδείγματι, γνωριμώτατον ἑαυτὸν ἐξ ἀσεβείας κατέστησε, καὶ καινότερον τρόπον ἡμιλλήθη τῷ ἀναδείξαντι; ἐπειδή γε ὑπερβάλλειν οὐκ ἦν ἀρετῇ καὶ τοῖς κρείττοσι, διὰ τοῦ ἐναντίου φανῆναι φιλονεικήσας, τῆς εἰς δυσσέβειαν ἀμετρίας, καὶ τῆς περὶ τὸ χεῖρον φιλοτιμίας.

Ἡ μὲν οὖν ὑπὲρ Χριστιανῶν τοῦ ἀνδρὸς, καὶ πρὸς Χριστιανοὺς ἀπολογία τοιαύτη, καὶ οὔπω δικαία τοῖς γε νοοῦσιν ἔχειν. ἐπεὶ δὲ εἰσί τινες, οἵ, κἂν ταύτης ἡμᾶς ἀπολύσωσι τῆς αἰτίας, ἑτέρας οὐκ ἀφιέντες, ἀλλὰ κατηγοροῦντες εὐήθειαν, ὅτι τῷ δυσμενεστάτῳ, καὶ πολεμιωτάτῳ τὴν ἀρχὴν ἐνεχείρισε, καὶ τὸν αὐτὸν ἐχθρὸν πρότερον, εἶτα ἰσχυρὸν κατεσκεύασε, τὴν μὲν ἔχθραν διὰ τὴν τοῦ [o] ἀδελφοῦ σφαγῆς προκαταβαλλόμενος, τὴν δὲ δύναμιν διὰ

[n] ἐπιδημίᾳ.] Πρὸ γὰρ τῆς τοῦ σωτῆρος ἐπιδημίας βουλὴ παρὰ Ῥωμαίοις ἦν ἤτοι σύγκλητος, ἥτις βουλὴ κατ' ἐνιαυτὸν δύο ὑπάτους ἐχειροτόνει, οἳ τοὺς πολέμους ἐπιστάθοντο, ἄλλων τὰ πολιτικὰ διοικούντων. ἡνίκα δὲ μετὰ τῶν ὑπάτων ἐν τοῖς πολέμοις ἐδυστύχουν, Δικτάτορα προεβάλλοντο, τὸν μόναρχον, ὃς μῆνας εἶχεν ἕξ.

[o] Ἀδελφοῦ σφαγῆς.] Τὸν γὰρ Ἰουλιανοῦ ἀδελφὸν ἐναντίως ἔχοντα αὐτῷ, ἀνεῖλεν ὁ Κωνστάντιος.

τῆς βασιλείας προστεθείς, ἀναγκαῖον καὶ περὶ τούτου βραχέα διεξελθεῖν, καὶ δεῖξαι μὴ παντάπασιν ἄλογον τὸ φιλάνθρωπον, μηδὲ ἔξω τῆς βασιλικῆς μεγαλονοίας καὶ προμηθείας. καὶ γὰρ ἂν αἰσχυνοίμην, εἰ, τοιαύτης παρ' αὐτοῦ τυχόντες τιμῆς, καὶ τοσοῦτον αὐτοὶ εὐσεβείᾳ διαφέρειν πεπιστευκότες, μὴ τὰ δίκαια συνηγορήσαιμεν, ὃ καὶ τοῖς μηδὲν εὐεργετηκόσιν ὀφείλεται παρ' ἡμῶν τῶν λόγου καὶ ἀληθείας θεραπευτῶν· καὶ ταῦτα μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν, ἡνίκα καὶ τὸ κολακεύειν δοκεῖν ἐκπεφεύγαμεν, καὶ πάσης ἐλεύθερος ὑπονοίας ὁ λόγος. τίς γὰρ οὐκ ἂν ἤλπισεν, εἰ μή τι ἄλλο, ταῖς τιμαῖς ποιήσειν αὐτὸν ἡμερώτερον; τίς δὲ οὐκ ἐκ τῆς πίστεως, ἣν ἐπιστεύθη καὶ παρὰ τὸ γρ. ἧς
εἰκός, δικαιότερον, ὡς ἀμφοῖν δικαίᾳ καὶ βασιλικῇ κρίσει, τοῦ μὲν ἐπιτιμηθέντος, τοῦ δὲ προβληθέντος; ὁ γὰρ τὸν δεύτερον τιμήσας οἷς οὐκ ἄν τις ἤλπισεν, οὐδὲ αὐτὸς ὁ τυχὼν τῆς τιμῆς, δῆλον ὡς οὐδὲ τὸν πρότερον ἀδίκου ὀργῆς ἐκολάσατο· καὶ τὸ μὲν τῆς ἐκείνου προπετείας ἦν, τὸ δὲ τῆς τοῦ τετιμηκότος φιλανθρωπίας. καὶ ἅμα τὸ θαῤῥεῖν εἶχεν, εἰ δεῖ τὸ μεῖζον εἰπεῖν, οὐ τοσοῦτον ἐκ τῆς ἐκείνου πίστεως, ὅσον ἐκ τῆς ἰδίας δυνάμεως. ᾗ μοι δοκεῖ καὶ Ἀλέξανδρος θαῤῥήσας, ὁ πάνυ, δοῦναι μὴ μόνον τὸ ζῆν ἡττημένῳ Πώρῳ (καὶ ταῦτα νεανικῶς οὕτως ἠγωνισμένῳ περὶ τῆς βασιλείας) ἀλλὰ καὶ τὴν βασιλείαν αὖθις Ἰνδῶν, ὡς τὸ μεγαλόψυχον μὲν οὐκ ἄλλως ἢ οὕτως ἐπιδειξόμενος, ᾧ κρατηθῆναι χεῖρον ἐνόμιζεν Ἀλέξανδρος ὤν, ἢ τοῖς ὅπλοις· τοῦ δέ, εἰ κακὸν λάβοι, χειρώσασθαι πάλιν ἐπ' αὐτῷ τυγχάνοντος. καὶ ἦν αὐτῷ ἡ περιουσία τοῦ θαῤῥεῖν τὸ φι- γρ. ὅπως
λάνθρωπον.

Καίτοι τί τοῦτο ἀγωνίζομαι, σφόδρα ἐνὸν κρατεῖν καὶ ἡττημένον; γρ. ἡττημένους
εἰ γὰρ ὁ πιστεύσας κακός, τί ποτ' ἂν εἴη περὶ ἐκεῖνον ὁ πιστευθείς; καὶ εἰ τὸ μὴ προειδέσθαι τὸν τρόπον ὑπαίτιον, αὐτήν γε τὴν κακίαν ποῦ θήσομεν; ἀλλ' ὄντως ἀσυλλόγιστόν τι πρᾶγμα ἡ πονηρία,

πονηρία, καὶ οὐκ ἔστιν ὅ τι τοὺς μοχθηροὺς ἂν τις βελτίους ποιήσειεν· ὁπότε κἀκεῖνος ἐξ ὧν εὐνούστερος φανῆναι δίκαιος ἦν, καὶ εἴ τι κακίας εἶχεν ἐμπύρευμα, τοῦτ' ἀνελεῖν, ὁ δὲ ἐκ τούτων εἰς μεῖζον ἀνήφθη μῖσος, καὶ ὅπως ἂν " ἀμύνοιτο τὸν εὐεργέτην, ἐσκόπει. Ταῦτα [p] Πλάτωνες αὐτὸν καὶ Χρύσιπποι, " καὶ ὁ λαμπρὸς Περίπατος, καὶ ἡ σεμνὴ Στοὰ, καὶ οἱ τὰ [q] κομψὰ λαρυγγίζοντες ἐξεπαίδευσαν· ταῦτα ἡ τῆς γεωμετρίας ἰσότης, καὶ οἱ περὶ δικαιοσύνης λόγοι, καὶ τὸ, χρῆναι ἀδικεῖσθαι μᾶλλον αἱρεῖσθαι ἢ ἀδικεῖν· ταῦτα οἱ γενναῖοι διδάσκαλοι, καὶ τῆς βασιλείας συναγωγοί τε καὶ νομοθέται, οὓς [r] ἐκ τῶν τριόδων καὶ τῶν βαράθρων ἑαυτῷ συνελέξατο, ὧν οὐ τὸν τρόπον ἐπῄνεσεν, ἀλλὰ τὴν εὐγλωττίαν ἐθαύμασε· καὶ οὐδὲ ταύτην ἴσως, ἀλλὰ τὴν ἀσέβειαν μόνην, ὡς σύμβουλον ἱκανὴν, καὶ τῶν περικλέων καὶ μὴ, διδάσκαλον. πῶς δὲ οὐ θαυμάζειν ἄξιον τούτους, οἳ καὶ λόγῳ πλάττουσι πόλεις τὰς ἔργῳ συστῆναι μὴ δυναμένας, καὶ τὰς σεμνὰς τυραννίδας μονονοὺ προσκυνοῦσι, καὶ τὸν [s] ὀβολὸν ὑπὲρ τοὺς θεοὺς ἄγουσι μετὰ τῆς ὀφρύος, καὶ οἱ μὲν οὐδὲ εἶναι Θεὸν τὸ παράπαν, οἱ δὲ οὐ προνοεῖν τῶν τῇδε δογματίζουσιν, ἀλλ' εἰκῇ καὶ ὡς ἔτυχε τὸ πᾶν φέρεσθαι· οἱ δὲ ἄστρασιν ἄγεσθαι καὶ σχηματισμοῖς ἀνάγκης, οὐκ οἶδ' ὑπό τινος ἀγομένοις καὶ ὅθεν· οἱ δὲ [t] εἰς ἡδονὴν τὸ πᾶν φέρειν, καὶ τοῦτο εἶναι πέρας ζωῆς

γρ. ἀμύνηται

γρ. καὶ ὁ σεμνὸς Περίπατος, καὶ ἡ στοά,

---

[p] Πλάτωνες αὐτὸν] Ἡ τοῦ Πλάτωνος φιλοσοφία διῃρέθη εἰς Στωϊκοὺς καὶ Περιπατητικούς· καὶ τῆς μὲν Στοᾶς (ἣ καὶ ποικίλη ἐλέγετο διὰ τὸ ἐν αὐτῇ γεγραμμένα, οἷον, ἡ ἐν Σαλαμῖνι ναυμαχία, ἢ τὰ κατὰ Μαραθῶνα) ἡγήσατο ὁ Χρύσιππος, τοῦ δὲ Περιπάτου, ἤτοι τοῦ Λυκείου, Ἀριστοτέλης, Πλάτων δὲ τῆς Ἀκαδημίας. [q] Κομψὰ λαρυγγίζοντες] Κομψὸν ἐστι τὸ εὐπρεπὲς καὶ χαρίεν. κόμπον δὲ τὸ μέγα· λαρυγγίζειν δέ ἐστι τὸ τὸν λάρυγγα πρὸς εὐφωνίαν ἄγειν, ἢ μελέτῃ, ἢ ποσὶ κλύσμασιν. [r] Ἐκ τῶν τριόδων] Τοὺς εὐκαταφρονήτους καὶ εὐτελεῖς, ἐκ τῶν τριόδων εἶναί φησιν. [s] ὀβολὸν] Ὀβολὸς παρ' Ἀθηναίοις ἐστὶ χαλκὸς, ὥς φησι Διόδωρος ὁ Σικελιώτης.

[t] εἰς ἡδονὴν] Οἱ τοῦ Ἐπικούρου καὶ τοῦ Πύρρωνος, Θεὸν εἶναι τὴν ἡδονὴν δείξουσι τοῦτο συλλογιζόμενοι, ὅτι εἰ πάντα, ἀγαθά τε καὶ αἰσχρὰ, διὰ ἡδονὴν γίνεται, Θεὸς ἄρα ἡ ἡδονή. μὴ συνιέντες ὅτι τὰ μὲν, εἰς ἡδονὴν αἰσχρὰν καὶ ὀλέθριον, τὰ δὲ, εἰς θείαν καὶ σωτήριον, τὰ δὲ, μέσα πως, οἷον τὸ φαγεῖν συμμέτρως, τὸ λούσασθαι, τὸ περὶ πολιτικῶν εἰπεῖν, καὶ τὰ ὅμοια.

ἀνθρωπίνης ὑπολαμβάνουσιν; ἡ ἀρετὴ δὲ αὐτοῖς, ἄλλως ὄνομα εὐπρεπές· καὶ οὐδὲν τοῦ παρόντος βίου μακρότερον, οὐδέ τις ἐξέτασις τῶν ἐνταῦθα βεβιωμένων ὕστερον, τὴν ἀδικίαν συστέλλουσα. ἢ γὰρ οὐ[w] συνεῖδέ τις ταῦτα τῶν παρ' ἐκείνοις σοφῶν, ἀλλὰ βαθεῖ βορβόρῳ, τὸ δὴ λεγόμενον, καὶ ἀφεγγεῖ ζόφῳ πλάνης καὶ ἀγνοίας συνεκαλύφθη, μηδὲ ὅσον προσβλέψαι ταῖς τῆς ἀληθείας αὐγαῖς καθαρθεὶς τὴν διάνοιαν, ἀλλὰ περὶ τὰ κάτω καὶ τὴν αἴσθησιν ἰλυσπώμενος, καὶ μηδὲν ὑπὲρ τοὺς δαίμονας φαντασθῆναι δυνηθείς, καὶ διαρθρῶσαι τοῦ πεποιηκότος ἀξίως· ἤ, εἴ τις διέβλεψε καὶ μικρόν, ὡς ὁδηγῷ λόγῳ καὶ μὴ Θεῷ χρώμενος, ὑπὸ τοῦ πιθανωτέρου παρεσύρη, καὶ τοῦ [x] μᾶλλον τοὺς πολλοὺς ἕλκοντος δι' ἐγγύτητα.

Τί οὖν θαυμαστὸν τὸ ἐκ τοιούτων μὲν ὁρμώμενον δογμάτων, ὑπὸ τοιούτων δὲ κυβερνήτων εὐθυνόμενον, οὕτω καὶ τοῖς πεπιστευκόσι φανῆναι κακὸν τὸν πιστευθέντα, καὶ τῷ τιμήσαντι τὸν τιμηθέντα; εἰ γὰρ δεῖ τι καὶ ὑπὲρ τῆς κατηγορίας ἀπολογήσασθαι, οὔ μοι δοκεῖ τοσοῦτον ὑπεραλγῶν τοῦ ἀδελφοῦ (ὅν γε καὶ πολέμιον ἐκ τῆς θρησκείας ἐγίνωσκεν) ὅσον τὰ Χριστιανῶν οὐ φέρων αὐξανόμενα, καὶ λυσσῶν κατὰ τῆς εὐσεβείας, τοῖς καθεστηκόσιν ἐπιτολμᾶν, καὶ ζητεῖν ἐλευθερίαν τῇ ἀπονοίᾳ. χρῆναι γὰρ [y] φιλοσοφίαν καὶ βασιλείαν, ὡς ὁ ἐκείνων λόγος, εἰς ταὐτὸ συνελθεῖν· οὐχ ἵνα παύσωνται κακῶν αἱ πόλεις, ἀλλ' ἵνα πληθῶσι. Καὶ τὸ μὲν πρῶτον αὐτῷ τῆς αὐθαδείας καὶ ἀπονοίας, ἑαυτὸν ἀναδῆσαι, καὶ τῇ [z] μεγάλῃ προσηγορίᾳ τιμῆσαι (ἥν, οὐχ ἅρπαγμα

[w] οὐ συνεῖδε] Τὰ παρ' αὐτοῖς δόγματα οὐδεὶς αὐτῶν κατενόησεν, ὅτι πολλῆς ἀνοίας καὶ πλάνης ἀνάμεστα. [x] μᾶλλον] Τῆς ἀληθείας δηλονότι. ἡ γὰρ πιθανότης ἐγγίζουσα τῇ ἀληθείᾳ τοὺς πολλοὺς ἀπατᾷ. [y] φιλοσοφίαν καὶ βασιλείαν,] Λόγος ἦν τῶν φιλοσοφεῖν δοκούντων, ὅτι τότε πόλεις καλῶς πράξουσιν ὅταν βασιλεῖς φιλοσοφήσωσιν, ἢ οἱ φιλόσοφοι βασιλεύσωσι· τοῦτο γοῦν αὐτῶν διασύρει νῦν ὁ θεῖος Γρηγόριος. [z] μεγάλῃ προσηγορίᾳ] Εἰπὼν ὅτι οὐ τὸ ἅρπαγμα βασιλείαν χαρίζεται, ἐπιφέρει λέγων, ὅτι τρία ἐστὶ καθ' ἃ δικαίως καὶ νομίμως τις βασιλεύει, γέρας ἀρετῆς τὴν τιμὴν λαβών, ἢ ὅτε ὁ χρόνος τοῦτο χαρίζηται, δείξας ἐκεῖνον παντοίαις ἀρεταῖς καὶ μεγίσταις εὐδοκιμοῦντα καὶ διαπρέποντα· ἢ βασιλέως δοκιμασία καὶ κρίσις· ἢ ψῆφος τῆς συγκλήτου βουλῆς κοινή. ὁ μὴ καθ' ἓν δὲ τούτων κρατήσας, τύραννος μᾶλλον ἢ βασιλεύς.

τύχης,

τύχης, ἀλλ' ἀρετῆς ἆθλον, ἢ χρόνος, ἢ ψῆφος βασιλέως χαρίζεται, ἢ τῆς συγκλήτου βουλῆς, ὡς τὸ παλαιόν, κρίσις) καὶ οὐ ποιεῖται τοῦ μείζου τῆς τιμῆς κύριον τὸν τῆς βασιλείας. [a] δεύτερον δὲ (καὶ γὰρ ἀναγκάζω ἑαυτῷ τὴν ἀπόνοιαν ἐκ τῶν ἤδη τετολμημένων ἤδει πεποιηκώς) τί διανοεῖται; καὶ ποῖ παρέξεισιν ἀσεβείας τε καὶ θρασύτητος; ὦ τῆς μανιώδους ἐκείνης ψυχῆς· ἐπ' αὐτὸν ἐκστρατεύει, καὶ τῆς δύσεως ἀπανίσταται, προφάσει μὲν, ὡς ἀπολογησόμενος ὑπὲρ τοῦ διαδήματος (ἐπὶ γὰρ ἐδόκει κρύπτειν ἑαυτοῦ τὴν ἀπόνοιαν) τὸ δὲ ἀληθές, ὡς μεταστήσων εἰς ἑαυτὸν ἅπαν τὸ κράτος, καὶ διὰ τῆς ἀγνωμοσύ[illegible]ται μισθωσόμενος. καὶ οὐκ ἐψεύσθη γε τῆς ἐλπίδος. μὴ [illegible]έτωσαν οὖν τῶν τοῦ Θεοῦ λόγων (ὑφ' ὧν τὸ πᾶν φέρεται) τὸ ἀτέκμαρτον μὴ ἐπιστάμενοι βάθος, καὶ μὴ παραχωροῦντες τῷ τεχνίτῃ τῆς κυβερνήσεως ἡμῶν γε πάντως συνετωτέρῳ, καὶ ἄγειν τὸ οἰκεῖον ὅπῃ καὶ ὅπως βούλεται· πάντως δὲ πρὸς τὸ κρεῖττον, εἰ τὴν ἰατρείαν, κἂν οὖν θεραπευόμενοι δυσχεραίνωσιν. ὑφ' ὧν λόγων κἀκεῖνος οὐκ [b] ἐπήρθη μὲν εἰς τὴν κακίαν (ἀμήχανον γὰρ πάντα πᾶσι κακῶν τὸ θεῖον ἀγαθὸν τῇ φύσει τυγχάνον, καὶ τοῦ παρελθόντος ὑπὸ τῆς κακίας) οὐ μὴν ἐπεσχέθη γε τῆς ὁρμῆς, ἀλλὰ τάχει πολλῷ τήν τε οἰκείαν, καὶ τῆς βαρβαρικῆς ὅση ἐστὶν ἣν διαδραμὼν, καὶ [c] τῷ λαθεῖν μᾶλλον, ἢ τῷ κρατῆσαι τὴν πρόοδον ἁρπάσας, πλησίον τῶν βασιλείων γίνεται· ὡς μὲν οὖν τὰ ἐκείνου φρονοῦντες, κατά παρέγνωσαν ἐπὶ τὴν ἐκστρατείαν ἀρθεὶς καὶ δαιμόνων κίνησιν, τὸ μέλλον ὑπισχνουμένων καὶ μεταβολὴν προφητευόντων τοῖς πράγμασιν· ὡς δὲ ὁ τῶν ἀληθευόντων λόγος, κατὰ παραθεσμίαν πρώην ἀπορρητοτέραν τε καὶ βαθυτέραν, καὶ ἀποδιδοὺς ἐπὶ θάνατον, οὗ δημιουργὸς αὐτὸς ἦν,

γρ. ἑαυτῷ τὴν τοιαύτην ὑπόνοιαν ἤδει πεποιηκώς,

γρ. περάσαιν

γρ. τῷ

---

[a] δεύτερον δὲ] Οὐ περιέμεινε γὰρ τὸν θεῖον καὶ βασιλέα τῆς τιμῆς αὐτὸν ἀξιῶσαι, ἀλλ' ἑαυτὸν ἔστεψεν. [b] οὐκ ἐπήρθη] Οὐκ ἐπήρθη μὲν εἰς τὴν κακίαν ὑπὸ τῆς τοῦ Θεοῦ κυβερνήσεως. ἀντὶ τοῦ, οὐχ ἡ κυβέρνησις τοῦ Θεοῦ ἐπῆρεν αὐτὸν εἰς κακίαν, ἀλλ' οὐδὲ ἐπεσχέθη ὑπ' αὐτῆς περιελόμενος ἅπαξ τῆς εὐσεβείας τὴν ἀσέβειαν.

[c] τῷ λαθεῖν] Τῷ λαθεῖν τοὺς βαρβάρους δηλονότι.

[d] κλέψας τινὶ τὴν ἔνδον τὴν ἐπιχείρησιν· ὥστε μὴ εἶναι πρόγνωσιν, ἀλλὰ γνῶσιν, καὶ πονηρίας ἔργον, ἀλλὰ μὴ δαιμόνων εὐεργέτημα τὸ γινόμενον· οἵ γέ πως [e] εὔστοχοι τὰ τοιαῦτα, Πέρσαις σαφῶς ἔδειξε. καὶ παυσάσθωσαν τὸ ἐκείνου τάχος τοῖς δαίμοσιν ἐπιφημίζοντες, εἰ μή γε καὶ αὐτὸ τὸ κακὸν εἶναι τούτοις προσθήσομεν. Εἰ μὲν οὖν μὴ προὔλαβε τὴν ἔφοδον τοῦ τοῦ ἐκείνου τὸ τέλος τοῦ βασιλέως, μηδ᾽ ὁ ἀφανὴς πόλεμος τοῦ φανεροῦ χείρους πλέον ἴσχυσε, τάχα ἂν ἔγνω καθ᾽ ἑαυτοῦ ταχινὰς ὁ ἀλιτήριος, καὶ πρὶν ὑπὸ Περσῶν τῆς ἐμπληξίας σωφρονισθῆναι, τῆς ἀπονοίας ἔδωκεν ἂν δίκην ἐν ὅροις Ῥωμαίων, ὧν κακῶς κατετόλμησε. τεκμήριον δέ· καὶ γὰρ ἔτι προσιὼν καὶ ἀγνοούμενος, ὡς ἐνόμιζεν, ὑπὸ τοῦ [f] γενναιοτάτου βασιλέως στρατιᾷ περιλαμβάνεται προϋποτεμνούσῃ καὶ τὴν φυγήν, ὡς δῆλον γέγονεν ἐκ τῶν ὑστέρων. καὶ γὰρ ἤδη τὸ κράτος ἔχοντι, τὸ κρατῆσαι ταύτης οὐ μικρὸν ἔργον ἐλείπετο. νῦν δὲ ὁ μὲν θυμῷ ζέων κατὰ τῆς ἀπονοίας ὁμοῦ καὶ τῆς ἀσεβείας, καὶ τὸν σοφώτατον ἔχων ἐν ἄρκυσιν (ὢ τῆς ἡμετέρας κακίας) ἐν ἀκμῇ τῆς ὁδοῦ καταλύει τὸν βίον, πολλὰ καὶ Θεῷ καὶ ἀνθρώποις ὑπὲρ τῆς ἑαυτοῦ φιλανθρωπίας ἀπολογησάμενος, καὶ διὰ τῆς ὁρμῆς δείξας Χριστιανοῖς τὴν ὑπὲρ τῆς εὐσεβείας κίνησιν.

γρ. τὴν ἐμπληξίαν

γρ. βασιλέων

Ὧδε δέ τι δάκρυσιν ἐπέρχεταί μοι γράφειν συμμιγὲς διὰ τὰ ἑξῆς τοῦ λόγου, καὶ οἷον ποταμοῦ καὶ πελάγους μάχη καὶ μίξις καὶ στάσις ἀλλήλοις ἀντιστατούντων καὶ συνιόντων. ἐκ μὲν γὰρ τῶν τελευταίων πάσχω τὰ τῆς ἡδονῆς, ἐκ δὲ τῶν προλαβόντων τὸ δάκρυον ἐπέρχε-

γρ. συνιόντων.

---

[d] κλέψας τινὶ] ἀντὶ τοῦ, διά τινος τῶν ἐν τοῖς βασιλείοις, προδιδόντος καὶ μηνύοντος ἐκείνῳ τὸν καιρὸν καθ᾽ ὃν ἐπιχειρεῖν δεῖ, καὶ οὕτω νομίζων δεῖν αὐτὸν ῥυθμίσαι. [e] εὔστοχοι] Μέγιστον σημεῖον καὶ ἐναργὲς ἡ κατὰ τὴν Περσίδα σφαγὴ Ἰουλιανοῦ, τοῦ μὴ κατὰ πρόγνωσιν αὐτὸν βασιλεῦσαι τούτων. εἰ γὰρ τοῦτο ἦν, καὶ ἐκστρατεύοντι αὐτῷ τὴν ἧτταν ἐδήλωσαν ἄν, καὶ ἐν Πέρσαις ὄντι τὴν πληγήν, τὴν ὑπὸ τοῦ αὐτομόλου ἀπάτην προεῖπον ἄν. [f] γενναιοτάτου] Καὶ γὰρ ἤδη βασιλεύοντι τῷ Ἰουλιανῷ τὸ περιγενέσθαι τοῦ στρατοῦ, καὶ τῆς δυνάμεως, ἥτις αὐτῷ τὴν φυγὴν οὐ συνεχώρει, πολὺς ἀγὼν καὶ δυσχέρεια γέγονε.

ται, οὐχ ὑπὸ Χριστιανῶν μόνον καὶ τῆς συμπεσούσης αὐτοῖς ἐπηρείας (ἢ παρὰ τοῦ πονηροῦ προσπεσούσης, ἢ παρὰ Θεοῦ συγχωρηθείσης, δι' ἃς οἶδεν αἰτίας, καὶ τυχὸν διὰ τὴν ἔμπροσθεν ἡμῶν δεομένην καθάρσεως) ἀλλὰ καὶ ὑπὸ αὐτῆς τῆς ἐκείνου ψυχῆς, καὶ τῶν ὑπ' αὐτοῦ συναρπασθέντων πρὸς τὴν αὐτὴν ἀπώλειαν. Οἱ μὲν γὰρ τὰς τελευταίας αὐτῶν πληγὰς, καὶ τὰς ἐντεῦθεν βασάνους ὀδύρονται, οἷς τὸ ζῆν τοῦτο νομίζεται μόνον, καὶ οὐκ ἐξικνοῦνται τῇ διανοίᾳ πρὸς τὰ ἐκεῖθεν, οὐδὲ εἰσὶν ἵνα νομίζωσι τὴν τῶν τῇδε βεβιωμένων λογισμὸν καὶ ἀντίδοσιν, ἀλλὰ ζῶσι βίον ἄλογον, τὸ πρὸς ἡμέραν καὶ τὸ πρόσκαιρον ἀεὶ βιοτεύοντες, ἐν τούτῳ τῇ ἐντεῦθεν ῥᾳστώνῃ μετροῦντες τὸ εὐδαιμονεῖν, καὶ τῷ ἐναντίῳ τὸ κακοδαιμονεῖν τοῖς ἀλυπιπτουσιν· ἐμοὶ δὲ πλέον θρηνεῖν αὖθις ἔπεισι τῶν ἐκεῖθεν βασάνων, καὶ τῆς ἀποκειμένης τοῖς πονηροῖς κολάσεως. καὶ οὔπω λέγω τὸ μέγιστον, αὐτὸ τὸ ἐξωσθῆναι Θεοῦ, πηλίκον αὖθις εἰς κόλασιν. πῶς μὴ δακρύσω τὸν ἄθλιον; πῶς μὴ πλέον μὲν τῶν δεδιωγμένων οὐ προσδραμόντας; πλέον δὲ τῶν αὐτομολησάντων εἰς τὴν κακίαν θρηνήσω τὸν συναρπάσαντα; μᾶλλον δὲ τοῖς μὲν οὐδὲν δεινὸν τὸ ὑπὲρ Χριστοῦ παθεῖν, ἀλλὰ καὶ πάντων μακαριώτατον, οὐ διὰ τὰ ἐκεῖθεν μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐντεῦθεν εὐδοξίαν καὶ παρρησίαν, ἣν διὰ τῶν κινδύνων ἑαυτοῖς ἐξειργάσαντο· τοῖς δὲ προοίμιον τῶν ἀποκειμένων καὶ ἀπειλουμένων, ἅπερ ἤδη πεπόνθασι. καὶ βέλτιον ἦν αὐτοῖς, εἰ ἐντεῦθεν μακρότερον ἐκολάσθησαν, ἢ τοῖς ἐκεῖ δικαιωτηρίοις ἐταμιεύθησαν.

γρ. καὶ — γρ. καθαιρέσεως — γρ. αὐτοῦ — γρ. λογίζεται — γρ. ἐκεῖθεν δικαστηρίοις

Ταῦτα μὲν οὖν διὰ τὸν νόμον τὸν τῷ πτώματι τοῦ ἐχθροῦ μὴ ἐπιχαίρειν κελεύοντα, καὶ τὸ συμπαθὲς ἀπαιτοῦντα παρὰ τῶν ἑστηκότων. ἐμοὶ δὲ πάλιν πρὸς αὐτὸν ἐπαναχτέον τὸν λόγον. τίς ἡ τοσαύτη τοῦ κακοῦ φιλονεικία; τίς ὁ τῆς ἀσεβείας ἔρως; τίς ὁ δρόμος τῆς ἀπωλείας; πόθεν οὕτω μισόχριστος ὁ Χριστοῦ μαθητὴς, ὁ τοσούτοις λόγοις τῆς ἀληθείας προσομιλήσας, καὶ τὰ μὲν εἰπὼν, τὰ δὲ ἀκούσας τῶν φερόντων εἰς σωτηρίαν; οὐ γὰρ ἔφθη κληρονομήσας τὴν

γρ. τοιαύτη

βασιλείαν, καὶ προσερίζεται τὴν ἀσέβειαν, ὥσπερ καὶ τὸ γενέσθαι ποτὲ Χριστιανὸς αἰσχυνόμενος, ἢ μνησικακῶν ὑπὲρ τούτου Χριστιανοῖς, οἷς τοῦ ὀνόματος ἐκοινώνησε· καὶ τὸ μὲν πρῶτον αὐτῷ τῶν τολμημάτων, ὡς οἱ τοῖς ἀπορρήτοις ἐκείνου καλλωπιζόμενοι (εἰς οἵους ἐμπίπτειν ἀναγκάζομαι λόγους;) αἵματι μὲν οὐχ ὁσίῳ τὸ λουτρὸν ἀπορρύπτεται, τῇ καθ' ἡμᾶς τελειώσει τὴν τελείωσιν τοῦ μύσους ἀντιτιθεὶς, ὗς ἐν βορβόρῳ κυλισθεὶς κατὰ τὴν παροιμίαν· καὶ τὰς χεῖρας [g] ἀφαγνίζεται, τῆς ἀναιμάκτου θυσίας ἀποκαθαίρων δι' ἧς ἡμεῖς Χριστῷ κοινωνοῦμεν καὶ τῶν παθημάτων καὶ τῆς θεότητος, ἐντόμοις δὲ καὶ θυσίαις καθιστᾷ τὰ βασίλεια, κακοῖς συμβούλοις κακῆς ἀρχῆς χρώμενος. γρ. μιαίνεται.

Ἀλλ' ἐπειδή γε ἐντόμων ἐμνήσθην καὶ τῆς περὶ τὰ τοιαῦτα τοῦ ἀνδρὸς δεισιδαιμονίας, ἢ κακοδαιμονίας εἰπεῖν οἰκειότερον, οὐκ οἶδα πότερον γραφῇ παραδῶ τὸ θρυλλούμενον θαῦμα, ἢ ἀπιστήσω τοῖς λέγουσι. καὶ γὰρ καὶ αὐτὸς ταλαντεύομαι τὴν γνώμην, καὶ οὐκ ἔχω ὁποτέρωσε νεύσω, μεμιγμένων τῶν δικαίως ἂν πιστευθέντων τοῖς οὐκ ἀξίοις πίστεως. γρ. ποτέρωσε τὸ μὲν γὰρ [h] ἐπισημῆναί τι τῇ τοσαύτῃ τοῦ κακοῦ καινοτομίᾳ καὶ δυσσεβείᾳ, τῶν οὐκ ἀπίστων, ἀλλὰ καὶ πολλάκις ἤδη συμβεβηκότων περὶ τὰς μεγίστας μεταβολάς· τὸ δὲ καὶ τὸν τρόπον τοῦτον, σφόδρα ἐμοὶ γοῦν θαύματος ἄξιον, καὶ πᾶσι τοῖς καθαροῖς δηλοῦσθαι τὰ καθαρὰ βουλομένοις τε καὶ νομίζουσι. τὸ δὲ οὖν λεγόμενον, ὅτι [i] θυομένῳ τὰ σπλάγχνα τὸν σταυρὸν ἀναδείκνυσι στεφανούμενον· ὃ τοῖς μὲν ἄλλοις φρίκην παρέσχε καὶ ἀγωνίαν, καὶ τοῦ ἡμετέρου κράτους συναίσθησιν, τῷ δὲ διδασκάλῳ τῆς ἀσεβείας καὶ θάρσος δῆθεν, ὡς περιγεγραμμένων ἡμῶν καὶ συνειργμένων. ὑπὸ γὰρ τὸν σταυρὸν καὶ τὸν κύκλον

[g] ἀφαγνίζεται] Ἀνάγνως ἀφαγνίζεται. τὸ γὰρ ἀφαγνίζεσθαι ἐναντίον ἐστὶ τῷ ἁγνίζειν. [h] ἐπισημῆναι] Τὸ θεῖον δηλονότι. ἐπὶ γὰρ ταῖς μεγίσταις μεταβολαῖς, καὶ μεγάλα τὰ σημεῖα εἰώθασι γίνεσθαι. [i] θυομένῳ] Αἱ τοιαῦται μεσότητες τὴν ἀναφορὰν ἔχουσιν ἐπὶ τὸν κύριον, ἤτοι τὸν κτήτορα· οἷον, οἰκοδομεῖ μοι οἰκίαν ὁ οἰκοδόμος, οἰκοδομοῦμαι δ' ἐγώ.

[k] περιεσχεδίασε.

[k] παρεσκεδίαστο. τοῦτο μὲν δὴ τὸ ἐμὸν θαῦμα· καὶ εἰ μὲν ψευδές, αὔραις φερέσθω· εἰ δ᾽ ἀληθές, πάλιν Βαλαὰμ προφητεύει, καὶ Σαμουὴλ [l] ἕλκεται), ἢ δοκεῖ, δι᾽ ἐγγαστριμύθου, καὶ δαίμονες ὁμολογοῦσι τὸν Ἰησοῦν ἄκοντες, καὶ διὰ τῶν ἐναντίων, ἵνα καὶ πιστωθῇ μᾶλλον, ἡ ἀλήθεια δείκνυται). καὶ τυχὸν κἀκεῖνοι ἐπὶ θεραπείᾳ τῆς ἀσεβείας διὰ τούτων [m] ἐπρυτανεύετο. πολλὰς γὰρ καὶ παραδόξους ὁδοὺς σωτηρίας οἶδε τὸ θεῖον καινοτομεῖν, νεῦον πρὸς τὸ φιλάνθρωπον. ὁ δ᾽ ἔλεγε, ὑπὸ πλειόνων* καὶ πιστεύειν οὐκ ἀπὸ σκοποῦ, κατῄει μὲν εἴς τι τῶν ἀδύτων τῶν τοῖς πολλοῖς ἀβάτων καὶ φοβερῶν (ὡς ὄφελόν γε καὶ τὴν εἰς ᾅδου φέρουσαν, πρὶν εἰς τοιαῦτα κακὰ προελθεῖν) συμπαρόντος αὐτῷ καὶ τοῦ πολλῶν ἀδύτων ἀξίου τοῦ σοφοῦ τὰ τοιαῦτα, εἴπω σοφιστοῦ. ἔστι γὰρ δή τι καὶ τοιοῦτον εἶδος μαντείας αὐτοῖς, ζόφῳ τινὶ καὶ ὑποχθονίοις δαίμοσι περὶ τῶν μελλόντων συγγίνεσθαι, εἴτε ὡς σκότῳ χαίρουσι μᾶλλον (ἐπεὶ καὶ εἰσὶ σκότος, καὶ σκότους δημιουργοὶ τῆς κακίας) εἴτε ὡς φεύγουσι τὰς ἐπιμιξίας τῶν εὐσεβῶν ἐπὶ γῆς, καὶ διὰ ταύτας ἀσθενεστέροις. ὡς δὲ προϊόντι τῶν γυμνάδων προσβάλλει τὰ δείματα, καὶ ἀεὶ πλείω καὶ φοβερώτερα (ἤχους τινάς φασιν ἀήθεις, καὶ ὀδμὰς τῶν ἀηδῶν, καὶ πυραυγῆ φάσματα, καὶ οὐκ οἶδ᾽ οὕστινας ὕθλους καὶ λήρους) τῷ ἀδοκήτῳ πληγεὶς (καὶ γὰρ ἦν ὀψιμαθὴς τὰ τοιαῦτα) ἐπὶ τὸν σταυρὸν καταφεύγει, καὶ τὸ παλαιὸν φάρμακον, καὶ τούτῳ σημειοῦται κατὰ τῶν φόβων, καὶ βοηθὸν ποιεῖται τὸν διωκόμενον. καὶ τὰ ἑξῆς φρικωδέστερα· ἴσχυσεν ἡ σφραγίς, ἡττῶνται οἱ δαίμονες, λύονται οἱ φόβοι. εἶτα τί; ἀναπνεῖ τὸ κακόν, θρασύνεται πάλιν, αὖθις ὁρμή, καὶ οἱ αὐτοὶ φόβοι, καὶ ἡ σφραγὶς πάλιν, καὶ ἠρεμοῦντες οἱ δαίμονες, καὶ ὁ μύστης ἐν ἀπορίᾳ, καὶ ὁ μυστα-

Ἀριθ. κγ. δ.
α. Βασ. κη. ιδ.
Μαρκ. α. λδ.

* νεῶ

κ. τοῦτο

[k] παρεσκεδίαστο.] Ἀντὶ τοῦ, παρὰ τὸ ὂν καὶ τὴν ἀλήθειαν ἐξέλαβε, καὶ ἐκ τοῦ εὐθέος τοῖς παροῦσι παρερμηνεύσας ἐψεύσατο. [l] ἕλκεται.] Ταῦτα πρὸς τὸ σπλάγχνον ἔχει τὴν ἀναφοράν, ἐν ᾧ ὁ σταυρὸς ζώνῃ περὶ κύκλῳ ἐφάνη. ἐδήλου γάρ, ὅτι δεῖ τὸν σταυρὸν βασιλεύειν. ὁ γὰρ στέφανος βασιλείας σημεῖον, εἰ καὶ ἑτέρως ὁ ἄθεος ἐκεῖνος καὶ παραπλὴξ φησίν, ὅτι πέρας σαφῶς καὶ παῦλαν δηλοῖ ὁ κύκλος τοῦ σταυροῦ, καὶ Χριστιανῶν βασιλείας. [m] ἐπρυτανεύετο.] Ὠκονόμητο.

γωγὸς

γαργαρὸς ἐντεῦθεν περιεξηγούμενος τὴν ἀλήθειαν, ἐβδελύχθημεν λέγων, οὐκ ἐφοβήσαμεν. νικᾷ τὸ χεῖρον. λέγει γὰρ ταῦτα, καὶ εἰπὼν πείθει, καὶ πείσας ἄγει τὸν μαθητὴν ἐπὶ τὸ τῆς ἀπωλείας βάραθρον. καὶ θαυμαστὸν οὐδέν. πρόχειρος γὰρ ἡ πονηρία τῷ κακῷ μᾶλλον ἀκολουθεῖν, ἢ ὑπὸ τοῦ κρείττονος ἀνακόπτεσθαι. ἃ μὲν οὖν εἰπὼν, ἢ ποιήσας, ἢ ἐξαπατηθεὶς ἀναπέμπεται, εἰδεῖεν ἂν οἱ τὰ τοιαῦτα τελοῦντές τε καὶ τελούμενοι· ἄνεισι δ' οὖν καὶ τῇ ψυχῇ δαιμονῶν καὶ τοῖς πράγμασι, καὶ τῷ μανιώδει τῶν ὀφθαλμῶν ἐπισημαίνων οὓς ἐθεράπευσεν· εἰ μή τι καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπλήσθη δαιμόνων, ἀφ' ἧς οὕτω πονηρὰ προὔθετο· ἀλλὰ τότε καὶ περιφανέστερον, ἵνα μὴ μάτην ᾖ κατεληλυθὼς καὶ τῶν δαιμόνων μετειληφὼς, ὃν ἐνθουσιασμὸν ἐκεῖνοι καλοῦσι, μεταποιοῦντες σεμνῶς τὰ ὀνόματα.

Τὰ μὲν δὴ πρῶτα, τοιαῦτα· ἐπεὶ δὲ ἡ ὠδὶς ἐκράτει, καὶ ὁ διωγμὸς ἐξερρήγνυτο, εἶδέ τι εἴτ' οὖν ἀνδρὸς σοφοῦ τὴν κακίαν καὶ περιττοῦ τὴν ἀσέβειαν, εἴτ' οὖν ἐδιδάχθη παρὰ τῶν εἰς ταύτην αὐτὸν ἀλειφόντων, ὡς τὸ μὲν φανερῶς ἀνῆφθαι τὸν πόλεμον καὶ ″ προκαθῆσθαι τῆς ἀσεβείας αὐτόχειρα, πρὸς τῷ λίαν εἶναι θρασὺ καὶ ἀπαίδευτον, ἔτι καὶ ἐναντιώτατον τῷ σκοπῷ παντελῶς. Φιλονεικοτέρους γὰρ ἂν ἡμᾶς γενέσθαι βιαζομένους, καὶ ἀντιθήσειν τῇ τυραννίδι τὴν ὑπὲρ εὐσεβείας φιλοτιμίαν. φιλεῖ γὰρ τὰ γενναῖα φρονήματα πρὸς τὸ βίᾳ κρατοῦν [n] αὐθαδιάζεσθαι, καὶ καθάπερ φλὸξ ὑπὸ ἀνέμου ῥιπιζομένη, τοσούτῳ μᾶλλον ″ ἀνάπτεσθαι, ὅσῳπερ ἂν σφοδρότερον καταπνέηται. καὶ τοῦτο οὐκ ἐκ τῶν λογισμῶν εὕρισκε μόνον, ἀλλὰ καὶ τοῖς παρελαθοῦσι διωγμοῖς εἶχε γινώσκειν, οἳ τιμιώτερον τὸν Χριστιανισμὸν πεποιήκασι ἧττον ἢ ἀσθενέστερον, ῥώσαντες τὰς ψυχὰς εἰς εὐσέ-

γρ. προκαθεδρεῦσαι

γρ. αὐθαδίζεσθαι,

γρ. ἀνάπτεται,

[n] αὐθαδιάζεσθαι] Ἐπὶ κακοῦ μὲν, ὡς τὰ πολλὰ, εἴρηται τὸ αὐθαδιάζεσθαι, ἀντὶ τοῦ θρασύνεσθαι, καὶ περπερεύεσθαι, καὶ τῇ ἀπονοίᾳ κεχρῆσθαι· νῦν δὲ ἐπὶ καλοῦ εἴρηται τῷ πατρὶ, ἀντὶ τοῦ ἀπομάχεσθαι.

βειαν,

βέλη, καὶ, ὥσπερ σίδηρον θερμὸν ὕδατι, τοῖς κινδύνοις στομώσαντες. Εἰ δὲ μετὰ τῆς [o] τέχνης στρατεύσειε, καὶ τῷ πείθειν τὸ βιάζεσθαι κεράσειεν, ἢ καθάπερ χαλκῷ περιβάλλοι δέλεαρ τῇ τυραννίδι τὸ προσηνές, σοφόν τε οὕτως ἂν ἅμα καὶ δυνατὸν γένοιτο αὐτῷ τὸ ἀγώνισμα. καὶ γὰρ πρὸς τοῖς ἄλλοις καὶ τῆς τῶν μαρτύρων τιμῆς ἐφθόνει τοῖς ἀθληταῖς· καὶ διὰ τοῦτο μηχανᾶται αὐτὸς μὲν καὶ βιάζεσθαι, καὶ μὴ δοκεῖν· ἡμᾶς δὲ καὶ πάσχειν, καὶ μὴ τιμὴν ἔχειν, ὡς ὑπὲρ Χριστοῦ πάσχοντας. ὢ τῆς εὐηθείας· πρῶτον μὲν, εἰ λανθάνειν ἐνόμισεν ὑπὲρ τίνος εἰσὶ κίνδυνοι, καὶ συγκαλύψειν τὴν ἀλήθειαν τοῖς σοφίσμασιν, ἀλλ' οὐχ ὅσῳ κατὰ τῶν τιμῶν ἐπενόει, τοσούτῳ μείζους αὐτὰς ποιήσειν καὶ λαμπροτέρας· δεύτερον δὲ, εἰ δόξης ἐπιθυμίᾳ κινδυνεύειν ἡμᾶς, ἀλλὰ μὴ τῆς ἀληθείας ὑπέλαβε. Ταῦτα μὲν παιζέτωσαν παρ' ἐκείνοις Εμπεδοκλεῖς καὶ Αρισταῖοι, καὶ Εμπεδότιμοί τινες καὶ Τροφώνιοι, καὶ τοιούτων δυστυχῶν ἀριθμός. ὧν, ὁ μὲν τοῖς Σικελικοῖς κρατῆρσιν ἑαυτὸν θεώσας, ὡς ᾤετο, καὶ εἰς τὴν κρείττονα λῆξιν ἀφ' ἡμῶν ἀναπέμψας, τῷ φιλτάτῳ σανδάλῳ κατεμηνύθη παρὰ τοῦ πυρὸς ἐκβρασθέντι· καὶ οὐ Θεὸς ἐδείχθη μετὰ ἄνθρωπον, ἀλλ' ἄνθρωπος κενόδοξος καὶ ἀφιλόσοφος μετὰ θάνατον, καὶ οὐδὲ τὰ κοινὰ συνετός· οἱ δὲ ἀδύτοις τισὶν ἑαυτοὺς ἐγκρύψαντες ὑπὸ τῆς αὐτῆς νόσου καὶ φιλαυτίας, εἶτ' ἐλεγχθέντες, οὐ μᾶλλον ἐκ τῆς κλοπῆς ἐτιμήθησαν, ἢ ἐκ τοῦ μὴ λαθεῖν καθυβρίσθησαν. Χριστιανοῖς δὲ ἥδιον ὑπὲρ εὐσεβείας τὸ πάσχειν, κἂν πάντας λανθάνωσιν, ἢ ἄλλοις τὸ εὐδοξεῖν μετὰ τῆς ἀσεβείας. τοῦ μὲν γὰρ ἀνθρώποις ἀρέσκειν βραχὺς ἡμῖν ὁ λόγος, τῆς δὲ παρὰ Θεοῦ τιμῆς ἡ [p] πᾶσα ἔφεσις· μᾶλλον δὲ καὶ ὑπὲρ ταύτην, οἵ γε ἀληθῶς φιλόσοφοι καὶ φιλόθεοι, τοῦ πρὸς τὸ καλὸν οἰκειώσει ἀγαπῶντες δι'

γρ. ὤφθη

[o] τέχνης] Ἀπόδοσις. ὡς τὸ μὲν φανερῶς ἀνελέσθαι τὸν πόλεμον, τὸ καὶ τὸ συμβήσεται· εἰ δὲ μετὰ τῆς τέχνης στρατεύσειε, καὶ τὰ ἑξῆς. [p] πᾶσα ἔφεσις] Πρώτη τάξις τῶν ἐπαινετῶν τὸ ἀγαπᾶν τὸ καλὸν δι' αὐτὸ τὸ καλὸν, καὶ μὴ δι' ἄλλο τι· ὅπερ ἐστὶ βέλτιον, καὶ τῶν ἐπὶ πλεῖστον ἀρετῆς προελθόντων. δευτέρα τάξις τὸ ἀγαπᾶν τὸ καλὸν δι' ἐλπίδα καὶ προσδοκίαν μισθοῦ. τρίτη τάξις τῷ φόβῳ κολάσεως ποιεῖν τὸ ἀγαθόν.

αὐτὸ τὸ καλόν, οὐ τὰς ἀποκειμένας ἐντεῦθεν τιμάς. δευτέρα γὰρ αὕτη τάξις τῶν ἐπαινετῶν, τὸ, μισθοῦ τι πράττειν καὶ δι' ἀντίδοσιν, ὥσπερ τρίτη, τῷ φόβῳ κολάσεως φεύγειν τὴν μοχθηρίαν. τὰ μὲν οὖν ἡμέτερα τοιαῦτα τε καὶ οὕτως ἔχοντα· καὶ ῥᾴδιον τοῦτο ἐκ πλειόνων ἐπιδεῖξαι τοῖς βουλομένοις. ὁ δέ, ὡς μεγάλης τιμῆς ἀποστερήσειν μέλλων Χριστιανούς (κρίνουσι γὰρ καὶ πολλοὶ τὰ τῶν ἄλλων τοῖς ἰδίοις πάθεσι) τοῦτο διώκει πρὸ τῶν ἄλλων, τὴν εὐδοκίμησιν· καὶ οὐδὲ μεγαλοψύχως, τοῖς ἄλλοις διώκταις "ὁμοίως, ἀπογράφεται τὴν ἀσέβειαν, οὐδ', εἰ μὴ βασιλικῶς, τυραννικῶς γε παντάπασι διανοεῖται περὶ ἡμῶν, ἵν' ᾖ [q] μεγαλοπρεπὲς αὐτῷ τὸ ἀσέβημα, "βιάζεσθαι λαὸν οἰκουμένης, καὶ "τυραννεῦσαι δόγμα πάντων δογμάτων ὑπερδυνητικός· δουλοπρεπῶς δὲ λίαν καὶ ἀγεννῶς κακουργεῖ τὴν εὐσέβειαν, καὶ τὰς περὶ τοὺς λογισμοὺς κλοπὰς καὶ διπλόας τῷ καθ' ἡμῶν διωγμῷ φέρων ἐπεισήγαγε. τοιγαροῦν εἰς δύο ταῦτα διῃρημένου τοῦ κράτους, τὸ πείθειν καὶ τὸ βιάζεσθαι, ὁ μὲν ἦν ἀπανθρωπότερον, δήμοις ἐφῆκε καὶ πόλεσι, τὸ τῆς τυραννίδος (ὧν καὶ ἦν μᾶλλον [r] "ἄληπτος ἡ ἀπόνοια διὰ τὴν ἀλογίαν καὶ τὴν ἀπερίσκεπτον ἐπὶ πάντα φοράν) καὶ τοῦτο οὐ προστάγματι * δημοσίῳ, τῷ δὲ μὴ ἀνακόπτειν τὰς ὁρμάς, [s] ἄγραφον" προθεὶς νόμον τὸ βούλεσθαι· ὃ δὲ [t] ἡμερώτερον καὶ βασιλικώτερον εἰς

κ. ὁμοιος,
κ. βιάσασθαι
κ. τυραννῆσαι
κ. ἄλυτος
* κατορθοῖ
κ. προθεῖς

[q] μεγαλοπρεπὲς] Μικροψυχίαν ἅμα καὶ δουλοπρέπειαν τοῦ τυράννου καταγινώσκει Ἰουλιανοῦ· διὰ τὸ μὴ φανερῶς, ἀλλὰ τεχνικῶς καὶ δολερῶς διώκειν τὸ σωτήριον δόγμα. [r] ἄληπτος] Ὧν δήμων καὶ πόλεων ἡ αὐθάδεια ληφθῆναι καὶ κρατηθῆναι χαλεπὸν ἢ ἀδύνατον ἦν. [s] ἄγραφον] Ἔοικε τοῦτο τῷ συγγραφικῷ ἐκείνῳ. ὁ γὰρ δυνάμενος παῦσαι, περιορῶν δέ, ἀληθέστερον τοῦτο δρᾷ. [t] ἡμερώτερον] Ὡς ἐκεῖνος ἐνόμιζε δῆλον ὅτι διὰ τοῦτο καὶ ἐπιφέρει εὐθέως τὸ δῆθεν. οὕτως οὖν νοήσεις, ἵνα τὸ ἐναντιοφανὲς ἐκφύγῃς. ποῖον τοῦτο; ἀνωτέρω τὸ μὲν φανερῶς καὶ δημοσίᾳ βιάζεσθαι, βασιλικὸν ὁμοῦ καὶ μεγαλόψυχον ἐνομίζετο, τὸ δὲ τεχνικῶς πειρᾶσθαι πείθειν, δουλοπρεπές τε ἅμα καὶ ἀγεννές. πῶς οὖν ἐνταῦθα, τὸ μετὰ τέχνης πειρᾶσθαι πείθειν ἡμερώτερον καὶ βασιλικώτερον; ἐναντίον μὲν οὐκ ἔστιν, ἐναντιοφανὲς δέ, πλὴν ὡς ἐκεῖνος ᾤετο οὕτως· ὅτι καὶ ἐπιφέρει, εἰς ἑαυτὸν δῆθεν φέρει τὸ τῆς πειθοῦς. οὐ γὰρ κατ' ἀλήθειαν ἐκείνου ἦν ἡ πειθώ, σοφίσματα δὲ τοῦ δημιουργοῦ τῆς κακίας, ὀργάνῳ κεχρημένου τῷ τυράννῳ.

ἑαυτὸν

ἑαυτὸν δῆθεν φέρει τὸ τῆς πειθοῦς. οὐ μὴν εἰς τὸ παντελὲς τοῦτό γε [u] διεσώσατο (οὐδὲ γὰρ εἶχε φύσιν ἢ πάρδαλιν ἀποθέσθαι τὸ κατάστικτον, ἢ Αἰθίοπα τὸ μέλαν, ἢ πῦρ τὸ καίειν, ἢ τὸν πονηρὸν τὴν μισανθρωπίαν, ἀπ' ἀρχῆς ἀνθρωποκτόνον τυγχάνοντα, ἢ ἐκεῖνον τὴν πονηρίαν, ἀφ' ἧς καθ' ἡμῶν ὥρμησεν) ἀλλ', ὥσπερ τὸν χαμαιλέοντα λόγος παντοῖον γίνεσθαι ῥᾳδίως, καὶ πάσας μὲν ἀναλαμβάνειν χρόας, πλὴν μιᾶς τῆς λευκότητος (τὸν γὰρ Πρωτέα παρίημι τὸν τοῦ μύθου, τὸν Αἰγύπτιον σοφιστήν) οὕτω κἀκεῖνος πάντα ἦν καὶ ἐγίνετο Χριστιανοῖς, πλὴν ἡμερότητος· καὶ ἦν λίαν [x] ἀπάνθρωπον αὐτῷ τὸ φιλάνθρωπον, καὶ τὸ [y] πιθανὸν βίαιον, καὶ ἀπολογία τῆς ἀγριότητος ἡ χρηστότης, ἵν' εἰκότως δοκῇ βιάζεσθαι τοῦ πείθειν [z] ἀποτυγχάνων. καὶ τοῦτο δῆλον ἐξ ὧν βραχὺ μὲν παρ' αὐτῷ τὸ τῆς πειθοῦς, πλεῖον δὲ τὸ τῆς βίας εὐθὺς ἑπόμενον ἦν· ἵν' ὥσπερ ἐν ταῖς θήραις ἢ ταῖς [a] πάγαις ἁλῶμεν ἢ τοῖς διώγμασι, καὶ [b] εἷς γε τρόπος πάντως ἡμᾶς χειρώσηται.

Ιερ. ιγ. κγ. Ιωάν. η μδ.

κ. μεταβάλλειν. ἀλλ. πρὸς πάσας μεταβ.

Οὕτω δὲ διανοηθείς τε καὶ διειλεγμένος, δεύτερον ἐκεῖνο στρατηγεῖ, καὶ μόνον ἀσφαλῶς, εἰ καὶ ἀσεβῶς λίαν· ἐκ τῶν ἐλαχίστων καὶ τῆς περὶ αὐτὸν χειρὸς (ὃ [c] πᾶσι διώκταις σύνηθες) τῆς κακίας ἄρχεται. καὶ γὰρ οὐδὲ οἷόν τε ἦν τοῖς ἐκτὸς ἐγχειρῆσαι, μὴ τούτων οἰκειωθέντων, ὥσπερ οὐδὲ στρατὸν ἐπάγειν ἐχθροῖς πρὸς τὸν στρατη-

---

[u] διεσώσατο] Οὐδὲ τὴν δοκοῦσαν πειθὼ μέχρι τέλους ἐφύλαξεν, ἀλλὰ λοιπὸν ἐτράπη καὶ εἰς τὸ φανερῶς βιάζεσθαι. [x] λίαν ἀπάνθρωπον] Πῶς τὸ φιλάνθρωπον ἀπάνθρωπον; ὡς μὲν αὐτὸς ἔλεγεν, ὑπὸ φιλανθρωπίας ἡμᾶς ἐβιάζετο· ὡς δὲ ἡ ἀλήθεια ἀπάνθρωπον ἦν αὐτῷ τὸ δοκεῖν φιλάνθρωπον. [y] πιθανὸν] Πρότερον μὲν γὰρ ἐπειρᾶτο σοφίσμασί τισι καὶ παραλογισμοῖς χρώμενος πείθειν· ὡς δὲ τῆς πειθοῦς ἐξασθενῶν διημάρτανε, καὶ προσεβιάζετο ὑλακτῶν καὶ ἀγριαίνων ὥσπερ τι θηρίον ἀνήμερον. καὶ οἱ ὑπὲρ τῆς ἀγριότητος ἀπολογούμενοι, ἔλεγον, ὅτι ὑπὸ χρηστότητος πολλῆς, καὶ τοὺς Χριστιανοὺς ἐθέλειν πρὸς τὸ κρεῖττον μεταστῆσαι ἀγριαίνει καὶ βιάζεται. [z] ἀποτυγχάνων] Τοῦτο ποῖον; τὸ βούλεσθαι τὸν Ιουλιανὸν δοκεῖν εἰκότως βιάζεσθαι.

[a] πάγαις] Καὶ ἡ παγὶς, καὶ ἡ πάγη εἴρηται. [b] εἷς γε τρόπος] Εἰς τὰ δύο, ἢ πάγης, ἢ διωγμοῦ· ἦν δ' αὐτῷ πάγη μὲν οἱ λόγοι, διωγμὸς δὲ τὸ βιάζεσθαι.

[c] πᾶσι διώκταις] Οὕτως ἐν τοῖς πολέμοις οἱ Ἀθηναῖοι πρότερον ἐπεχείρουν τοῖς ἰσχυροτέροις τοὺς ἀσθενεστέρους τέως ἐάσαντες· ὅτι τῶν κρειττόνων χειρωθέντων ῥᾳδίως οἱ χείρους ἁλώσονται.

γὸν σαστάζοντα. καὶ διὰ τοῦτο μεταποιεῖ μὲν [d] τὰ βασίλεια, τοὺς μὲν θανάτῳ προϋπεξαγαγὼν πρότερον, τοὺς δὲ προσωσάμενος, οὐχ ὡς εὔνους τῷ [e] μεγάλῳ βασιλεῖ μόνον, ἀλλὰ καὶ ὡς εὐνουστέρους τῷ μείζονι, καὶ ἀλυσιτελεῖς αὐτῷ κατ' ἀμφότερα. ὑποποιεῖται δὲ τὸ στρατιωτικόν, τὸ μὲν δι' ἑαυτοῦ, τὸ δὲ διὰ τῶν ἐν τέλει· ὃ καὶ μᾶλλον [f] "εὔπιστον ὑπελάμβανε, τὸ μὲν τῇ τιμῇ ἡττώμενον, τὸ δὲ ἁπλότητι παρασυρόμενον, καὶ νόμον ἕνα γινώσκειν μόνον, τὴν τοῦ βασιλέως βούλησιν· μᾶλλον δὲ τοῦ στρατιωτικοῦ "μέρος οὐκ ἐλάχιστον, καὶ ὅσον εὗρε σαθρὸν καὶ νοσῶδες, τοῦ καιροῦ δοῦλον καὶ ὑπὲρ τὸ πρότερον ὄν. τὸ μὲν δεδούλωτο, τὸ δὲ [g] ἤλπιζεν. οὐ γὰρ δὴ τὸ πᾶν ὑφεῖλεν, οὐδὲ τοσοῦτον ἔδωκεν αὐτῷ καθ' ἡμῶν ὁ δι' ἐκείνου [h] διώκτης· ἀλλ' ἔμειναν ὑπὲρ τοὺς ἑπτακισχιλίους οἱ μὴ κάμψαντες γόνυ τῇ Βαάλ, μηδὲ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες, μηδὲ ὑπὸ τῶν [i] ὄφεων τρωθέντες ἐκ τοῦ βλέπειν εἰς τὸν ὄφιν τὸν κρεμασθέντα καὶ καταλυθέντα τοῖς Χριστοῦ πάθεσι· πολλοὶ μὲν τῶν ἐν δυναστείαις καὶ ὕψεσιν (οὓς καὶ μᾶλλον εἰκὸς ἦν ἡττηθῆναι, καὶ διὰ φόβον, καὶ δι' ἐλπίδας) πολλοὶ δὲ [k] τῶν κάτω, καὶ ἀριθμῷ μόνῳ γνωριζομένων, οἷς προσβαλὼν ἀπεκρούσθη, καθάπερ ὑπὸ γενναίου τείχους μηχάνημά τι τῶν οὐ καιρίων. πλὴν οὐκ ἠνία μᾶλλον τὸ διαφυγεῖν, ἢ ἐθάρσυνεν, ὡς ἂν λυσσῶντα, τὸ ἁλισκόμενον, καὶ τὸ βούλεσθαι παρείσῃ τὸ ἐλπισθὲν ὡς κρατούμενον. τολμᾷ δὲ ἤδη καὶ κατὰ τοῦ μεγά-

γρ. εὔπιστον
γρ. μέρους

γ. Βασ. ιθ.
Δαν. γ.
Ἀριθμ. κα. η.

[d] τὰ βασίλεια] Τῷ τὴν ἀρχὴν ἐγχειρῆσαι τοῖς ὁμοίοις αὐτῷ τὴν ἀσέβειαν.

[e] μεγάλῳ βασιλεῖ] Μέγαν βασιλέα οἶμαι λέγειν αὐτὸν Κωνστάντιον, μείζονα δὲ τὸν Χριστόν. [f] εὔπιστον] εὐχερῶς πειθόμενον. [g] ἤλπιζεν.] Τοιοῦτοι γὰρ οἱ πονηροί, τοῖς ἀεὶ παροῦσι δουλεύοντες, καὶ μηδενὶ γνησίως.

[h] διώκτης] Διάβολος δηλονότι· οὐχ ὅτι δι' ἑκών, ἀλλ' ἄκων οὐκ ἔδωκε, τοῦ Θεοῦ μὴ συγχωρήσαντος τὸ πᾶν ὑφελέσθαι διὰ σπλάγχνα ἐλέους αὐτοῦ.

[i] ὄφεων] Ὁ γὰρ κρεμασθεὶς ὄφις τὴν ἁμαρτίαν ὑπεδήλου καὶ ὑπηνίττετο καταλυθησομένην ἐν τῷ σταυρῷ. [k] τῶν κάτω] τῶν ἀρχομένων, καὶ μὴ ὄντων ἐν ἐπιφανείᾳ καὶ ἐνδοξίᾳ ταύτῃ τῇ φαινομένῃ.

λου [l] συνθήματος, ὃ μετὰ τοῦ σταυροῦ πομπεύει, καὶ ἄγει τὸ στρατὸν εἰς ὕψος αἰρόμενον, καμάτων λυτήριον ὄν τε καὶ κατὰ Ῥωμαίους ὀνομαζόμενον, καὶ βασιλεῦον (ὡς ἂν εἴποι τις) τῶν λοιπῶν συνθημάτων, ὅσα τε βασιλέων προσώποις ἀγάλλεται καὶ πεπετασμένοις ὑφάσμασιν ἐν διαφόροις βαφαῖς καὶ γράμμασιν, ὅσα τε δρακόντων φοβεροῖς χάσμασιν " ἐμπνεόμενα ἐπ᾽ ἄκρων δοράτων αἰωρουμένοις, καὶ διὰ τῶν ὁλκῶν ῥιπιζόμενα [m] φολίσιν ὑφανταῖς καταστίκτων, ἥδιστόν τε ὁμοῦ καὶ φρικτὸν θέαμα προσαπιτῶλει ταῖς ὄψεσιν.

γρ. ἐμπιπτόμενα

Ὡς δ᾽ εἶχεν αὐτῷ κατὰ νοῦν τὰ πλησίον, καὶ τοῦ ἐν χερσὶν, ὡς ᾤετο, κινδύνου κρείττων ἐγένετο, οὕτως ἤδη πειρᾶται καὶ τῶν ἑξῆς. Ὦ θρασύτατε καὶ ἀσεβέστατε, καὶ [n] ἀπαιδευτότατε τὰ μεγάλα, σὺ κατὰ τοσούτου κλήρου, καὶ τῆς οἰκουμενικῆς καρποφορίας [καὶ] τῆς πάντα διαλαβούσης τὰ πέρατα διὰ τῆς εὐτελείας τοῦ λόγου καὶ τῆς μωρίας, ὡς ἂν αὐτοὶ φαίητε, τοῦ κηρύγματος, ὃ σοφοὺς ἐνίκησε, καὶ δαίμονας ἔπαυσε, καὶ χρόνου ὑπερηκόντισε, τὸ αὐτὸ παλαιόν τε ὁμοῦ τυγχάνον καὶ νέον (ὡς ὑμεῖς τὴν θεὰν τινα τερατεύεσθε) τὸ μὲν τοῖς [o] ὀλίγοις, τὸ δὲ τοῖς πολλοῖς, καὶ τὸ μὲν τῇ σκιαγραφίᾳ, τὸ δὲ τῇ τελειώσει τοῦ μυστηρίου καιροῖς ἰδίοις ταμιευθέντος; σὺ κατὰ τῆς μεγάλης τοῦ Χριστοῦ κληρονομίας (ὁ τίς, καὶ πόσος, καὶ πόθεν;) τῆς μεγάλης καὶ οὐ παυσομένης, οὐδ᾽ ἂν πλέον ἢ σὺ μεμηνῶσί τινες, ἀλλ᾽ ἐπὶ πλεῖον

---

[l] Συνθήματος] Σύνθημά ἐστι τὸ σημεῖον καὶ σύμβολον τοῦ στρατοῦ, ὃ καλοῦσι βάνδον. λέγει δὲ νῦν τὸ ἔχον ἐπὶ τοῦ ἄκρου τὸν σταυρὸν τὸν σωτήριον, ὃ κατὰ τῶν ἐναντίων ἀρραγὲς ἵσταται τρόπαιον. πάλιν, τὰ καλούμενα παρὰ Ῥωμαίοις σίγνα καὶ βάνδα, ταῦτα ὁ ἀττικίζων συνθήματα καὶ σημεῖα καλεῖ. καὶ εἴ τι μὲν σύνθημα, τοῦτο καὶ σημεῖον, οὐκ εἴ τι δὲ σημεῖον, τοῦτο ἤδη καὶ σύνθημα. ἔστι γὰρ σύνθημα τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον σύμβολον, πρὸς τὸ μὴ ἀγνοεῖσθαι αὐτοὺς ἀλλήλοις· οἷον Ἀρχάγγελος, Θεοτόκε, Χριστὸς βασιλεύει. [m] φολίσιν] Φόλις ἀντὶ τοῦ ἡ λεπίς· ἔστι δὲ τὸ δέρμα τοῦ ὄφεως ἤτοι αἱ λεπίδες τοῦ δέρματος.

[n] ἀπαιδευτότατε] Πεπαίδευται μὲν γὰρ τὰ μικρὰ ταῦτα, ὅσα ἐν γράμμασι καὶ φωναῖς εἰς ἀέρα διαλυομέναις, ἀπαιδευτότατος δὲ τὰ σωτηριώδη, καὶ παραμένοντα τοῖς κληρωσαμένοις. [o] ὀλίγοις] Τὸ μυστήριον ἡμῶν τοῖς μὲν ὀλίγοις, ἀντὶ τοῦ, καθαροῖς καὶ ὀξυτάτοις τὴν θεωρίαν· παλαιὸν τοῖς γε πολλοῖς καὶ χαμαὶ ἐρχομένοις, νέον δὲ τοῖς ὀλίγοις καὶ ὑψηλοτέροις πρόσφατον.

ἀεὶ βαδιζομένης τε καὶ ἀριθμουμένης (πῶς δύω γὰρ ταῖς περιρρήσεσι, καὶ τοῖς ὁρωμένοις) ἣν ὡς Θεὸς ἐποίησε, καὶ ὡς ἄνθρωπος ἐκληρονόμησεν, ἣν νόμος ἐτύπωσε, καὶ χάρις ἐπλήρωσε, καὶ Χριστὸς ἐνεκαίνισεν, ἣν προφῆται συνέπηξαν, καὶ ἀπόστολοι συνέδησαν, καὶ εὐαγγελισταὶ" κατηρτίσαντο; σὺ κατὰ τῆς Χριστοῦ θυσίας, τοῖς σοῖς μιάσμασι; σὺ κατὰ τοῦ τὸν κόσμον καθήραντος αἵματος, τοῖς σοῖς αἵμασι; σὺ πόλεμον * κατὰ τῆς εἰρήνης; σὺ χεῖρα κατὰ τῆς ὑπὲρ σοῦ ἡλωθείσης τε καὶ διὰ σέ; σὺ κατὰ τῆς χολῆς τὴν σὴν γεῦσιν; κατὰ τοῦ σταυροῦ, τρόπαιον; κατὰ τοῦ θανάτου, κατάλυσιν; κατὰ τῆς ἀναστάσεως, ἐπανάστασιν; κατὰ τοῦ μάρτυρος, οὐδὲ[p] μάρτυρας; μετὰ Ἡρώδην διώκτης, καὶ μετὰ Ἰούδαν προδότης; (πλὴν ὅσον οὐκ ἀγχόνη τὴν μεταμέλειαν ἔδειξας, ὥσπερ ἐκεῖνος) καὶ χριστοκτόνος μετὰ Πιλάτον, καὶ μετὰ Ἰουδαίους μισόθεος; οὐκ ᾐδέσθης τὰ ὑπὲρ Χριστοῦ σφάγια; οὐδὲ ἐφοβήθης τοὺς μεγάλους ἀγωνιστάς; τὸν Ἰωάννην ἐκεῖνον, τὸν Πέτρον, τὸν Παῦλον, τὸν Ἰάκωβον, τὸν Στέφανον, τὸν Λουκᾶν, τὸν Ἀνδρέαν, τὴν Θέκλαν, τοὺς ἐπ' ἐκείνοις τε καὶ πρὸ ἐκείνων τῆς ἀληθείας προκινδυνεύσαντας; οἳ πυρί, καὶ σιδήρῳ, καὶ θηρσί, καὶ τυράννοις προθύμως ἀντηγωνίσαντο, καὶ παροῦσι κακοῖς καὶ ἀπειλουμένοις, ὥσπερ ἐν ἀλλοτρίοις σώμασιν ἢ ἀσώματοι; (τίνος ἕνεκεν; ἵνα μὴ προδῶσι μηδὲ μέχρι ῥήματος τὴν εὐσέβειαν) ὧν αἱ μεγάλαι τιμαὶ καὶ πανηγύρεις· παρ' ὧν δαίμονες ἐλαύνονται), καὶ νόσοι θεραπεύονται· ὧν [q] αἱ ἐπιφάνειαι, καὶ ὧν αἱ προρρήσεις· ὧν καὶ τὰ σώματα μόνον ἴσα" δύναται ταῖς ἁγίαις ψυχαῖς ἢ ἐπαφώμενα ἢ τιμώμενα· ὧν καὶ ῥανίδες" μόναι αἵματος καὶ μικρὰ σύμβολα πάθους ἴσα δρῶσι τοῖς σώμασι. ταῦτα οὐ σέβεις, ἀλλ' ἀτιμάζεις, ὁ τὴν Ἡρακλέους θαυμάζων πυρὰν τὴν ἐξ ἀτυχήματος καὶ τῶν περὶ γυναῖκας ἀδι-

γρ. κατηρτύσαντο

* ἢ χεῖρας

γρ. δύνανται

γρ. αἱματούμενον

---

[p] μάρτυρας] Οὐδὲ μάρτυρας τὸ ἐπὶ σοὶ γενέσθαι ἐποίησας· φθάσας γὰρ εἶπεν, ὅτι ἐφθόνει ἡμῖν καὶ τῆς τοῦ μαρτυρίου τιμῆς. [q] αἱ ἐπιφάνειαι] Ὧν ἁγίων τὸ ἐπιφαίνεσθαι τοῖς κάμνουσι κατὰ θάλατταν, ἢ ἄλλως κινδυνεύουσι, καὶ ὧν τὸ διὰ προρρήσεως προμηνύειν καὶ προλέγειν τὰ μέλλοντα.

κνημῶν· καὶ τὴν Πέλοπος κρεουργίαν, τὴν φιλόξενον ἢ φιλόθεον (ἐξ ἧς ἐπίσημοι Πελοπίδαι παρὰ τὴν ὤμων καὶ τοῦ ἐλέφαντος) καὶ τὰς Φρυγῶν ἐκτομὰς τῶν ὑπ' αὐλοῦ κηλουμένων, καὶ μετὰ τὸν αὐλὸν ὑβριζομένων· καὶ τὰς ἐν Μίθρου βασάνους καὶ καύσεις τὰς ἐνδίκους, τὰς μυστικάς· καὶ τὴν ἐν Ταύροις ξενοκτονίαν· καὶ τὴν ἐπὶ Τροίας θυσίαν τῆς βασιλικῆς κόρης· καὶ τὸ Μενοικέως ὑπὲρ Θηβαίων αἷμα, καὶ τῶν Σκεδάσου θυγατέρων ἐν Λεύκτροις ὕστερον· ὁ τοὺς Λακωνικοὺς ἐπαινῶν ἐφήβους ξαινομένους ταῖς μάστιξι, καὶ τὸ ἐπιβώμιον αἷμα τερπνὸν θεὰν ἁγνὴν καὶ παρθένον· ὁ τὸ Σωκράτους "ἐπαίρων κώνειον, καὶ τὸ Ἐπικτήτου σκέλος, καὶ τὸν Ἀναξάρχου θύλακον (ὧν ἀναγκαία μᾶλλον ἢ ἑκούσιος ἡ φιλοσοφία) καὶ τὸ Κλεομβρότου πήδημα τοῦ Ἀμβρακιώτου τῷ περὶ ψυχῆς λόγῳ φιλοσοφηθέν· καὶ τὴν ὑπὲρ τῶν κυάμων Πυθαγορικὴν ἔνστασιν· καὶ θανάτου περιφρόνησιν Θεανοῦς, ἢ οὐκ οἶδ' οὕτινος τῶν τὰ ἐκείνου τετελεσμένων ἢ φιλοσοφησάντων;

γρ. ἐπαινῶν

Σὺ δέ, εἰ μὴ ἐκεῖνα, τά γε παρόντα θαύμασον, ὦ φιλοσοφώτατε καὶ γενναιότατε, καὶ τοὺς Ἐπαμινώνδας ἐκείνους καὶ Σκιπίωνας τῇ καρτερίᾳ βλέπων, ὁ συμβαδίζων τῷ στρατῷ, καὶ σῖτα αἱρούμενος [r] σχέδια, καὶ τὴν [f] αὐτουργὸν ἐπαινῶν στρατηγίαν. ἔστι τοι γενναίου καὶ φιλοσόφου ψυχῆς μηδὲ πολεμίων ἀρετὴν ἀτιμάζειν, καὶ πλεῖον νέμειν ἐχθρῶν γενναιότητι, ἢ κακίᾳ τῶν οἰκειοτάτων καὶ μαλακίᾳ. ὁρᾷς τοὺς ἀβίους τούτους καὶ ἀνεστίους, καὶ ἀσάρκους μικροῦ καὶ ἀναίμονας, καὶ Θεῷ κατὰ τοῦτο πλησιάζοντας; τοὺς ἀνιπτόποδας καὶ χαμαιεύνας (ὅ φησιν ὁ σὸς Ὅμηρος, ἵνα τινὰ δαιμόνων τιμήσῃ τῷ πλάσματι); τοὺς κάτω, καὶ ὑπὲρ τὰ κάτω; τοὺς ἐν ἀνθρώποις, καὶ ὑπὲρ τὰ ἀνθρώπινα; τοὺς δεδεμένους καὶ ἐλευθέρους; τοὺς κεκρατημένους, καὶ ἀκρατήτους; ὧν οὐδὲν ἐν κόσμῳ, καὶ πάντα τὰ ὑπὲρ κόσμον; ὧν διπλοῦν τὸ ζῆν, τὸ μὲν

---

[r] σχέδια] Τὰ ἐξ αὐτοσχεδίου γινόμενα. [f] αὐτουργὸν] Αὐτουργὸν στρατηγίαν ἣν βασιλεὺς δι' ἑαυτοῦ βασιλεύει καὶ στρατηγεῖ.

ὑπερορώμενον, τὸ δὲ σπουδαζόμενον; τοὺς διὰ τὴν νέκρωσιν ἀθανάτους; τοὺς διὰ λύσιν Θεῷ συνημμένους; τοὺς ἔξω πόθου, καὶ μετὰ τοῦ θείου καὶ [1]ἀπαθοῦς ἔρωτος; ὧν ἡ πηγὴ τοῦ φωτός; καὶ ὧν ἤδη τὰ ἀπαυγάσματα; ὧν αἱ ἀγγελικαὶ ψαλμῳδίαι, καὶ ἡ πάννυχος στάσις, καὶ ἡ τοῦ νοῦ πρὸς Θεὸν ἐκδημία προαρπαζομένου; ὧν ἡ κάθαρσις, καὶ ὧν τὸ καθαίρεσθαι, μηδὲν μέτρον εἰδότων ἀναβάσεως καὶ θεώσεως; ὧν αἱ πέτραι, καὶ ὧν οἱ οὐρανοί; ὧν τὸ ἐρρίφθαι, καὶ ὧν οἱ θρόνοι; ὧν ἡ γυμνότης, καὶ ὧν ἀφθαρσίας ἔνδυμα; ὧν ἡ ἐρημία, καὶ ἂν ἡ ἐκεῖθεν πανήγυρις; ὧν τὸ τυραννῆσαι τὰς ἡδονάς, καὶ ὧν ἡ ἀπόλαυσις ἡ " ἀναλλοίωτος καὶ ἀνέκφραστος; γρ. ἄλυπος, ἀλλ. ἄλυτοι ὧν τὸ δάκρυον ἁμαρτίας κατακλυσμός, κόσμου καθάρσιον; ὧν ἔκτασις χειρῶν φλόγα σβέννυσι, θῆρας κοιμίζει, ἀμβλύνει ξίφη, κλίνει φάλαγγας, ἐπιστομίσει καὶ τὴν σὴν ἀσέβειαν, εὖ ἴσθι, κἂν πρὸς ὀλίγον ἐπαρθῇς καὶ παίξῃς τὸ τῆς ἀσεβείας δρᾶμα μετὰ τῶν σῶν δαιμόνων; πῶς οὐδὲ ταῦτά σοι φοβερά, ὦ λίαν τολμηρὲ σὺ καὶ θανατῶν, εἴπερ ἄλλος τις; πῶς οὐκ αἰδέσιμα; ταῦτα μὲν ἤδη [καὶ] πολλῷ τιμιώτερα τῆς Σόλωνος ἀπληστίας τοῦ σοφοῦ [τε καὶ νομοθέτου] ἣν Κροῖσος ἤλεγξε τῷ Λυδίῳ χρυσῷ, καὶ τῆς Σωκράτους φιλοκαλίας (αἰδοῦμαι γὰρ εἰπεῖν παιδεραστίας, κἂν σεμνοποιῆται ταῖς ἐπινοίαις) καὶ τῆς Πλάτωνος λιχνείας τῆς Σικελικῆς (δι' ἣν καὶ πιπράσκεται, καὶ οὐδ' ὑπό τινος ἐξωνεῖται τῶν αὐτοῦ μαθητῶν, ἢ ὅλως Ἑλλήνων) καὶ τῆς Ξενοκράτους ὀψοφαγίας, καὶ τῆς Διογένους στωμυλίας, τοῦ τὸν πίθον οἰκοῦντος (ὑφ' ἧς οὐδὲ ξένους ὑπεξίστησι τοῖς τυράννοις ἐκ τῆς τραγῳδίας, τοῖς εὐτελέσιν ἄρτοις τοῖς σησαμοῦσι) καὶ τῆς Ἐπικούρου φιλοσοφίας οὐδὲν ὑπὲρ τὴν ἡδονὴν ἀγαθὸν ὁριζομένης. μέγας ὑμῖν ὁ Κράτης (καὶ γὰρ ὄν-

[1] ἀπαθοῦς ἔρωτος] Ἐχομέν ἐν ἡμῖν αὐτοῖς καὶ ὀργὴν καὶ ἔρωτα, καὶ εἴ τι τοιοῦτον ἄλλο ἐν τῇ ἡμετέρᾳ φύσει παρὰ Θεοῦ τοῖς ἀνθρώποις ἔμφυτον θὲν ἃ κατὰ τὸ αὐτεξούσιον ἐπὶ τὸ χεῖρον ἡμεῖς παρατρέποντες τὸ τῶν κρειττόνων ἐρᾶν παρωσάμενοι, τῶν σωματικῶν καὶ ἐστά πων ἀθλίως ἐπιθυμοῦμεν· ὡσαύτως καὶ τὸν θυμὸν δὲ κατὰ τῶν παθῶν ἀφέντες, τοῖς ὁμοφύλοις ἡμῶν οὐκ ὀρθῶς ἀγριαινόμεθα.

τως

πως φιλόσοφον τὸ μηλόβοτον ἀφεθῆναι τὴν οὐσίαν, καὶ τοῖς παρ' ἡμῖν φιλοσόφοις ὅμοιον) ἀλλὰ πομπεύει τὴν ἐλευθερίαν τῷ κηρύγματι, ὡς δῆλος οὐ φιλόσοφος μᾶλλον ἢ φιλόδοξος. μέγας ὁ τῆς νηὸς χειμαζομένης, καὶ πάντων ἐκριπτουμένων χάριν ὁμολογῶν τῇ τύχῃ *συστελλούσῃ εἰς τὸ τριβώνιον. μέγας ὁ Ἀντισθένης, ὅτι τὸ πρόσωπον συντριβεὶς ὑπό τινος τῶν ὑβριστῶν καὶ θρασέων, ἐπιγράφει τῷ μετώπῳ μόνον, ὥσπερ ἀνδριάντι δημιουργὸν, τὸν παίσαντα, ἴσως ἵνα κατηγορήσῃ θερμότερον. ἐπαινεῖς τινα καὶ τῶν οὐ πολὺ [τὸ] πρὸ ἡμῶν, ὅτι πανημέριος ἑστὼς τῷ ἡλίῳ προσηύξατο (ἴσως αὐτὸν τηρήσας καὶ προσγειότερον, ἵνα καὶ συνέλῃ τὴν εὐχὴν δυομένῳ συγκαταλύσας) καὶ τὸν ἐν Ποτιδαίᾳ στάσιν τὴν ἐν χειμερίῳ τῇ ὥρᾳ πάννυχον τῇ θεωρίᾳ προσφιλοπονήσαντα, ὥστε μηδὲ ἐπαισθέσθαι τοῦ κρύους διὰ τὴν ἔκστασιν· ἢ καὶ τὴν Ὁμήρου φιλομάθειαν περὶ τὸ Ἀρκαδικὸν ζήτημα, καὶ τὴν Ἀριστοτέλους φιλοσοφίαν καὶ προσεδρίαν ἐπὶ ταῖς τοῦ εὐρίπου μεταβολαῖς (ὑφ' ὧν τεθνήκασι) καὶ τὸ Κλεάνθους φρέαρ, καὶ τὴν Ἀναξαγόρου ἱμάντα, καὶ τὴν Ἡρακλείτου κατήφειαν. πόσου ταῦτα, καὶ μέχρι τίνος; τὰς δὲ παρ' ἡμῖν οὐ θαυμάζεις χιλιάδας καὶ μυριάδας, καὶ ταῦτα καὶ τούτων ἔτι θαυμασιώτερα φιλοσοφούντων, ἐν παντὶ τῷ βίῳ, καὶ κατὰ πᾶσαν, ὡς εἰπεῖν, τὴν οἰκουμένην, ἀνδρῶν τε ὁμοῦ καὶ γυναικῶν εἰς ἀνδρείαν ἁμιλλωμένων, κἂν ταῦτα μόνον ἐπιλανθανομένων τῆς φύσεως, οὗ δεῖ Θεὸν οἰκειοῦσθαι δι' ἁγνείας καὶ καρτερίας, οὐ τῶν ἀγεννῶν μόνον, καὶ τῷ πόνῳ συνειθισμένων διὰ τὴν ἀπ' ἀρχῆς εὐτέλειαν, ἀλλὰ καὶ τῶν λίαν ὑψηλῶν ποτε καὶ λαμπρῶν καὶ περιουσίᾳ, καὶ γένει, καὶ δυναστείᾳ καινοτομούντων δυσπαθεῖν διὰ τὴν Χριστοῦ μίμησιν· ὧν καὶ ὁ λόγος μὴ ᾖ (διὰ τὸ μηδ' ἐν λόγῳ τίθεσθαι τὴν εὐσέβειαν, καὶ τῆς ἀπὸ τοῦ στόματος σοφίας βραχὺν εἶναι) τὸν καρπὸν, ὡς καὶ τῶν παρ' ὑμῖν τινι ποιητῶν ἔδοξεν) ἀλλὰ τὸ εὔλογον πλεῖον, καὶ ἡ ἐν τοῖς πράγμασι παίδευσις.

Ἀλλ' ὅμως ἅπαντα παριδὼν ταῦτα, καὶ πρὸς ἓν τοῦτο μόνον ἰ-

*ὡς

γρ. δημιουργῶν,

γρ. ἐπαισθάνεσθαι

γρ. ὁμοίως

γρ. οὐκ ἀγεννῶν.

γρ. ἀπὸ.

σιν, ὅπως ἂν χαρίσαιτο τοῖς κατενεγκοῦσι πολλάκις αὐτὸν [ἀξίως] δαίμοσι, πρὶν ἄλλο τι καταστήσασθαι τὴν κοινὴν, ἐπὶ Χριστιανοὺς φέρεται. καὶ δύο ταῦτα μὲν ἦν αὐτῷ τὰ σπουδαζόμενα, Γαλιλαῖοί τε, ʺὡς αὐτὸς ἐφυβρίζων ἐκάλει, καὶ [u] Πέρσαι τὸν πόλεμον καρτερῶς συναιρόμενοι· οὕτω δὲ τὸ ἡμέτερον μεῖζον καὶ περισπούδαστον, ὥστε λῆρον καὶ παιδιὰν αὐτῷ τὸ κατὰ Πέρσας νομίζεσθαι. [x] καὶ τοῦτο οὐκ ἐκφαίνει μὲν, οὐ κρύπτει δέ. ἀλλὰ τοσοῦτον ἦν αὐτῷ τὸ περιὸν τῆς μανίας, ὥστε ἀεὶ καὶ πρὸς πάντας ὁμολογῶν οὐκ ἐπαύετο. καὶ οὐδὲ τοῦτο συνεῖδεν, ὁ συνετώτατος πάντων, καὶ ἄριστος τοῦ κοινοῦ προστάτης, ὅτι τοῖς μὲν προτέροις διωγμοῖς ὀλίγον ἦν τὸ συγχεόμενον καὶ παρακινούμενον, οὔπω τοῦ καθ' ἡμᾶς δόγματος ἐπὶ πολλοὺς φθάσαντος, ἀλλ' ἔτ' ἐν ὀλίγοις ἱσταμένης τῆς ἀληθείας καὶ δεομένης ἐκλάμψεως· νῦν δὲ ἤδη τοῦ σωτηρίου λόγου ʺχυθέντος, καὶ περὶ ἡμᾶς μάλιστα δυναστεύσαντος, τὸ πειρᾶσθαι τὰ Χριστιανῶν μετατιθέναι καὶ παρακινεῖν, οὐδὲν ἕτερον ἦν, ἢ τὴν Ῥωμαίων περισαλεύειν ἀρχὴν, καὶ περὶ τοῦ κοινοῦ παντὶ κινδυνεύειν, καὶ ὧν οὐδ' ἂν οἱ ἐχθροὶ χεῖρόν τι καθ' ἡμῶν εὔξαιντο, ταῦτα πάσχειν ὑφ' ἡμῶν αὐτῶν, καὶ [y] τῆς νέας ταύτης καὶ [z] θαυμαστῆς φιλοσοφίας καὶ βασιλείας, ὑφ' ʺἧς ἡμεῖς εὐδαίμονες, καὶ πρὸς τὴν χρυσῆν ἐκείνην γενεάν τε καὶ πολιτείαν ʺἐπανεληλύθαμεν τὴν ἀστασίαστόν τε καὶ ἄμαχον. ἢ ʺ[a] δρόμος μὲν ἀνεκτῶς διοικούμενος, καὶ φόρων ἄνεσις, καὶ

γρ. ἐς

γρ. χυθέντος περὶ ἡμᾶς, καὶ μάλιστα δυναστεύσαντος,

γρ. ὧν

γρ. συνετ.

γρ. δῆμος

---

[u] Πέρσαι] Ἐν οἷς καὶ δίκην ἔδωκε, τῆς μὲν ἀσεβείας οὐκ ἀξίαν μὲν, δίκην δὲ ὅμως ἐν τῷ παρόντι ἱκανήν.

[x] καὶ τοῦτο] Τὸ καθ' ἡμῶν σπούδασμα. οὐκ ἦν τῷ Ἰουλιανῷ μέσον τοῦ τε ἐκφαίνειν καὶ τοῦ κρύπτειν παντελῶς· ἀλλ' οὕτω τῆς μανίας εἴχετο καὶ παραπληξίας, ὥστε ἄνω καὶ κάτω τὸ καθ' ἡμῶν μῖσος ʺκαλῶν οὐκ ἐπαύετο. εἰ δὲ μετρίως γοῦν ἐσωφρόνει, ὀλιγάκις μὲν ἔλεγε καὶ ὑπεδήλου τὴν γνώμην, τὰ πολλὰ δὲ σιωπῶν ἀπέκρυπτε. τοῦτο γὰρ μέσον ἐστὶ τοῦ τε ἐκλαλεῖν, καὶ τοῦ πάντα πᾶσι μὴ ἐκφαίνειν. [y] τῆς νέας] Ἔλεγον γὰρ οἱ τὰ τοῦ Ἰουλιανοῦ φρονοῦντες, ὅτι νῦν εἰς ταὐτὸ συνῆλθε, φιλοσοφία τε ἅμα καὶ βασιλεία. [z] θαυμαστῆς] Ἐν εἰρωνείᾳ ταῦτα. [a] ἢ δρόμος] Ἐν ἄλλοις, ἡ, μετὰ τῆς δασείας· τουτέστιν, ἥ τινι φιλοσοφίᾳ καὶ βασιλείᾳ· τόδε μὲν καὶ τόδε τὰ μέχρι λόγου ἀγαθά. δῆμοι δὲ στασιάζοντες, καὶ τὸ καὶ τὸ κακά, ἃ μὴ μέχρι λόγου, ὥσπερ τὰ καλὰ, ἀλλ' αὐτῷ τῷ ἔργῳ πάρεστιν ὁρᾶν. διασύρων δὲ λέγει ταῦτα κατὰ τῶν Πλατωνικῶν.

ἴσ. στρέφων

γρ. κλεπτῶν ἀρχόντων ἐκλογή, καὶ κλοπῶν ἐπιτίμησις, καὶ τἆλλα, ὅσα τῆς προσκαίρου καὶ ἀκεραίας μακαριότητος καὶ φαντασίας, μεγάλην ἔμελλέ γε τῷ κοινῷ παρέξειν τὴν ὠφέλειαν, καὶ [b] περιθρυλλεῖσθαι ἡμῖν ἔδει τὰ ὦτα τύπων ἐπαινουμένων· δῆμοι δὲ στασιάζοντες καὶ πόλεις, καὶ γένη ῥηγνύμενα, καὶ οἰκίαι διιστάμεναι, καὶ συζυγίαι σχιζόμεναι (ἃ τῷ κακῷ πάντα ἦν εἰκὸς ἀκολουθεῖν ἐκείνῳ, καὶ μέντοι καὶ ἠκολούθησε) σφόδρα ἢ [c] πρὸς εὐδοξίαν ἐκείνῳ κάλλιστα εἶχεν, ἢ τῷ κοινῷ πρὸς ἀσφάλειαν; καίτοι τίς οὕτως ἢ πρὸς ἀσέβειαν εὔκολος, ἢ τῶν κοινῶν ἔξω λογισμῶν, [d] ὅστις ἂν ταῦτα συμφήσειεν; ὥσπερ γὰρ ἐν τοῖς σώμασιν ἑνὸς μὲν ἢ δυοῖν μελῶν ἀσθενέστερον διακειμένων, οὐ χαλεπῶς ἀναφέρει τὰ λοιπά, καὶ διατηρεῖται τὸ τῆς ὑγιείας ἀγαθὸν τῷ πλείονι, ᾧ τάχα ἂν κἀκεῖνα πρὸς τὸ βέλτιον ἐπιμεληθείη· τοῦ δὲ πλείονος στασιάζοντος καὶ πικρῶς ἔχοντος, οὐδεμία μηχανὴ μὴ τὸ πᾶν ἔχειν κακῶς, καὶ κίνδυνος ἤδη τὸ τοιοῦτο σαφής· οὕτω, κἂν τοῖς ἀρχομένοις, τὰ μὲν καθ᾽ ἕκαστον ἀρρωστίας συμβαίνῃ, τῷ κοινῷ κρύπτεσθαι κρεῖσσον ἔχοντι, τῶν πλειόνων δὲ τὸ σαθρὸν ἐχόντων, τῷ παντὶ κίνδυνος. γρ. σαθρῶς ἐχ. Ὅ μοι δοκεῖ ἄλλον μὲν ἂν ἰδεῖν, καὶ τῶν σφόδρα μισούντων ἡμᾶς, ἐν τῷ νῦν καιρῷ, καὶ τῇ τοσαύτῃ τῶν Χριστιανῶν ἐπιδόσει· τοῦτον δὲ ἡ πονηρία τοῖς λογισμοῖς ἐπεσκότησε, καὶ διὰ τοῦτο μικροῖς τε ὁμοίως καὶ μείζοσι πλέκει τὸν διωγμόν.

Ἐκεῖνο μὲν οὖν καὶ σφόδρα μειρακιῶδες καὶ κοῦφον, καὶ οὐχ ὅπως βασιλέως ἀνδρός, ἀλλ᾽ οὐδὲ ἄλλου τινὸς τῶν καὶ μετρίως στιβαρῶν τὴν διάνοιαν, ὅτι τῇ μεταθέσει τῆς κλήσεως ἐψεῦσθαι νομίσας τοῦ

---

[b] περιθρυλλεῖσθαι] Περιηχεῖσθαι μάτην. [c] ἢ πρὸς εὐδοξίαν] Οὕτω θέλει, ὡς νομίζω· ἃ ταῦτα κακὰ πρὸς εὐδοξίαν τῷ Ἰουλιανῷ κάλλιστα εἶχεν, ὡς αὐτὸς ᾤετο· ἢ τῷ κοινῷ τῶν Ῥωμαίων πρὸς ἀσφάλειαν (τὸ κείμενον δὲ οὕτως ἔχει) ἢ πρὸς εὐδοξίαν ἐκείνῳ, ἀντὶ τοῦ, ἃ ὡς ἤδη ὑπέλαβεν.

[d] ὅστις ἄν.] Ποῖα ταῦτα; τὸ λέγειν τοὺς Ἕλληνας ὅτι νῦν εἰς ταὐτὸν ἦλθον βασιλεία καὶ φιλοσοφία; κἀντεῦθεν εὐδαίμονές, φησιν, οἱ ἄνθρωποι πρὸς τὴν χρυσῆν ἐκείνην γενεὰν ἐπανελθόντες.

ἡμετέραν [c] διάθεσιν, ἢ αἰσχυνθείς γε ἡμᾶς ὥσπερ τι τῶν αἰσχίστων ἐγκαλουμένους, εὐθὺς καινοτομεῖ περὶ τὴν προσηγορίαν, Γαλιλαίους ἀντὶ Χριστιανῶν ὀνομάσας τε καὶ καλεῖσθαι νομοθετήσας, ἔργῳ δηλῶν, ὅτι μέγιστον εἰς δόξαν, καὶ τιμιώτατον ἡ τοῦ Χριστοῦ κλῆσις, ἐξ ὧν ἀποστερῆσαι ταύτης ἡμᾶς ἐπενόησεν· ἢ φοβούμενός γε τὴν δύναμιν τῆς προσηγορίας, ὥσπερ οἱ δαίμονες, καὶ διὰ τοῦτο μεταβαίνων ἐφ' ἕτερον ὄνομα τῶν οὐκ εἰωθότων οὐδὲ γνωρίμων. ἡμεῖς δὲ οὐ περικινήσομεν αὐτοῖς τὰ ὀνόματα (οὐδὲ γάρ ἐστιν εἰς ὅ, τι μεταθείημεν ἂν ἄλλο γελοιότερον τῶν Φαλλοῦς, καὶ τῶν Ἰθυφάλλους, καὶ τῶν Ἀπύγους καὶ τῶν Μελαμπύγους, καὶ τὸν Τραγόπαν καὶ τὸν σεμνὸν Πᾶνα τὸν ἐκ πάντων μνηστήρων ἕνα Θεόν, καὶ ὄνομα λαβόντα τὴν ὕβριν, ὥσπερ ἦν ἄξιον. δεῖ γὰρ ἢ ἀδικεῖν παρ' ἐκείνοις εἰς πολλὰς ἕνα καὶ τὸν κράτιστον, ἢ ἐκ πολλῶν γίνεσθαι ἕνα καὶ τὸν αἴσχιστον) οὐκ οὖν φθονήσομεν αὐτοῖς, οὔτε τῶν πραγμάτων, οὔτε τῶν ὀνομάτων, ἀλλ' ἀπολαυέτωσαν τῆς ἑαυτῶν εὐηθείας, καὶ τοῖς αἰσχίστοις ἐγκαλλωπιζέσθωσαν. Εἰ βούλοιντο δέ, καὶ τὸν Βυθοίνην προσθήσομεν αὐτοῖς καὶ τὸν Τριέσπερον (ἵνα καὶ μᾶλλον αὐτοῖς χαρισώμεθα) τὸν καὶ γεννώμενον οὕτω, καὶ γεννῶντα μεγαλοπρεπῶς, καὶ ἆθλον ποιησάμενον τρισκαιδέκατον ἐν μιᾷ νυκτὶ τὰς Θεσίου πεντήκοντα θυγατέρας, ἵν' ἐκ τούτων ὀνομασθῇ Θεός· ἐπεί, βουλομένοις γε τὰ τοιαῦτα καινοτομεῖν, πολλαὶ κατ' ἐκείνου κλήσεις ἐκ τῶν ἐκείνου, Χριστιανοῖς, αἰσχίους τε ἅμα καὶ οἰκειότεραι. τί γὰρ ἂν κωλύσειε καὶ ἡμᾶς τῷ βασιλεῖ, κατὰ τὸ ἴσον, ἀντιπαίζοντας Ῥωμαίων (ὡς δὲ ᾤετο καὶ τῆς οἰκουμένης ἠπατημένος τοῖς δαίμοσι) τὸν Εἰδωλιανὸν καλεῖν, καὶ τὸν Πισαῖον, καὶ τὸν Ἀδωναῖον, καὶ τὸν Καυσίταυρον, ὅπερ καὶ ἤδη τινὲς αὐτὸν τῶν πρὸ ἡμῶν κομψῶν ὀνο-

γρ. χειρίστων

γρ. δηλώσας ὅτι

γρ. ἀστείσαιτο

γρ. ἀτυχεῖν. ἀλλ. ἀπέχειν

[c] διάθεσιν] Διάθεσιν ἐνταῦθα ἀντὶ τῆς ἕξεως εἶπεν. ἡ μὲν γὰρ διάθεσις προϊοῦσα, ἕξις γίνεται, ἡ δὲ ἕξις βέβαιόν τι καὶ τέλειον ἀγαθὸν ἐν τῇ ψυχῇ καθίσταται. ἔχομεν δὲ ἡμεῖς οἱ Χριστιανοὶ τὸ μέγα τῆς πίστεως ἡμῶν μυστήριον, οὐ κατὰ διάθεσιν, ἀλλὰ σὺν Θεῷ φάναι, κατὰ τὸ μεῖζον καὶ κρεῖττον, τὴν ἕξιν. οὐκοῦν τῷ τῆς διαθέσεως ὀνόματι ἀντὶ τῆς ἕξεως ὁ πατὴρ ἐχρήσατο.

μάζουσιν

μάκαρσιν (ἐπεὶ καὶ ῥᾳστώνη πολλὴ τοῦ πράγματος) ὅσα τε ἄλλα παραποιεῖν, ἢ ποιεῖν ἐκ τῆς ἀληθείας, ἡ ἱστορία δίδωσι. πάντων δὲ ἀτοπώτατον, τὸν μὲν σωτῆρα καὶ δεσπότην ἁπάντων, τὸν τοῦδε τοῦ παντὸς δημιουργόν τε καὶ κυβερνήτην, τὸν τοῦ μεγάλου πατρὸς υἱὸν καὶ λόγον, καὶ προσαγωγέα, καὶ ἀρχιερέα, καὶ συνθρόνιον· τὸν ὑπὲρ ἡμῶν τῶν ἀτιμασάντων αὐτοῦ τὴν εἰκόνα, καὶ πρὸς τὸν χοῦν ἀπενηνεγμένων, καὶ ἀγνοησάντων τὸ μέγα τῆς συζυγίας μυστήριον, μὴ μόνον εἰς δούλου καταβάντα μορφήν, ἀλλὰ καὶ ἐπὶ τὸν σταυρὸν ἀναβάντα καὶ συναγαγόντα τὴν ἐμὴν ἁμαρτίαν τεθνηξόμενον, τοῦτον μὲν Σαμαρείτην ἀκούοντα, καὶ, ὃ πολλῷ χεῖρον, δαιμονᾶν ἐγκαλούμενον, μήτε αἰσχύνεσθαι, μήτε ἐγκαλεῖν τοῖς ὑβρίζουσιν (ᾧ καὶ ταῖς ἀγγελικαῖς παρατάξεσι καὶ [f] λόγῳ μόνῳ ἀμύνεσθαι τοὺς πονηροὺς ῥᾴδιον ἦν) ἀλλ' ἡμέρως πάνυ καὶ πρᾴως τοὺς ὑβρίζοντας ἀποπέμπεσθαι, καὶ ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν ἀφιέναι δάκρυον, ἡμᾶς δὲ οἴεσθαι ἀλγήσειν οὕτω καλουμένους, ἢ αἰσχυνεῖσθαι, ἢ τῆς ὑπὲρ τοῦ καλοῦ φιλοτιμίας διὰ τοῦτο ἀποστήσεσθαι, καὶ πλείω ποιήσασθαι λόγον τῶν ὕβρεων τούτων, ἢ τῶν ψυχῶν καὶ τῶν σωμάτων, ὧν καταφρονεῖν ἴσμεν ὑπὲρ τῆς ἀληθείας. ἀλλὰ τοῦτο μὲν, ὅπερ εἶπον, γελοῖον μᾶλλον ἢ λυπηρὸν, καὶ εἰς τὴν σκηνὴν [g] ἀποπεμπόμεθα· πάντως οὔποτ' ἂν ὑπερβαλοίμεθα τοὺς ῥᾳδίως ἐκεῖ κατὰ τῆς κόρρης τά γε τοιαῦτα παιζομένους καὶ παίζοντας· ἐκεῖνο δὲ ἤδη καὶ λίαν πονηρὸν καὶ κακόηθες, ὅτι τὸ μὲν φανερῶς πείθειν οὐκ ἔχων, τὸ δὲ βιάζεσθαι τυραννικῶς αἰσχυνόμενος, τῇ λεοντῇ τὴν κερδαλῆν ἐγκρύπτων, εἰ βούλει δὲ, [h] τῷ Μίνωος προσωπείῳ τὴν ἀδι-

Λυκ. ια. ιε.
Ματθ. κς. νγ.

γ. ὥσπερ

γ. κατὰ τῆς κόρρης

[f] λόγῳ] Ἐπιδιόρθωσις τοῦτο. τί λέγω ταῖς ἀγγελικαῖς παρατάξεσι; καὶ λόγῳ μόνῳ τοὺς πονηροὺς ἐχθροὺς ἀμύνεσθαι εὔκολον ἦν αὐτῷ. [g] ἀποπεμπόμεθα] Διὰ τί τὰ τοιαῦτα τῶν γελοίων εἰς τὸ θέατρον ἀποπέμπομεν; ἐπεὶ οὐδέποτε νικήσομεν τοὺς ἐκεῖ παίζοντας τοῖς τοιούτοις τῶν γελοίων. κόρρην δὲ λέγει τὴν κεφαλὴν, ἣν εἰώθασι πατάσσειν οἱ μῖμοι παίζοντες. [h] Τῷ Μίνωος] Μίνως υἱὸς ὢν τοῦ Διὸς, δίκαιος ἄνθρωπος ἐνομίζετο. ὃ οὖν λέγει ὁ θεῖος Γρηγόριος τοῦτό ἐστιν, ὅτι ὁ Ἰουλιανὸς τὴν ἑαυτοῦ πονηρίαν διὰ ἐπιπλάστου ἤθους ἀπέκρυψεν ἄδικος ὢν ἐν δικαίου σχήματι.

κώτατον (πῶς ἂν εἴποιμι "κυρίως;) [i] ἐπιεικῶς ἐβιάζετο. γρ. κυρίως

Τὰ μὲν οὖν ἄλλα τοῖς βουλομένοις ἱστορεῖν τε καὶ γράφειν παρήσω, τοῦ λόγου σπεύδοντος. πολλοὺς δ' οἶμαι σπουδασθήσεσθαι τοῦ τότε καιροῦ τινὰ εἴτε τραγῳδίαν χρὴ λέγειν εἴτε κωμῳδίαν (οἷς μέρος εὐσεβείας δόξει λόγῳ βαλεῖν τὸν ἀλιτήριον) ὡς καὶ τοῖς ἔπειτα παραδοθῆναι πρᾶγμα τοσοῦτον, καὶ ἥκιστα τοῦ λαθεῖν ἄξιον. αὐτὸς δ' ἀντὶ πάντων ἓν ἢ δύο δείγματος ἐρῶ χάριν τοῖς σφόδρα τὰ ἐκείνου θαυμάζουσιν, ἵν' εἰδῶσι τοῦτον ἐπαινεῖν ἀξιοῦντες, οὗ μηδὲ ψόγον ἐστὶν εὑρεῖν ἄξιον. νόμος ἐστὶ βασιλικός, οὐκ οἶδα μὲν εἰ καὶ πᾶσιν ἀνθρώποις παρ' ὅσοις τὸ βασιλεύεσθαι, Ῥωμαίοις δὲ καὶ τὴν λίαν σπουδαζομένων, εἰκόσι δημοσίαις τιμᾶσθαι τοὺς [k] βασιλεύοντας. οὐ γὰρ ἐξαρκοῦσιν οἱ στέφανοι, καὶ τὰ διαδήματα, καὶ τὸ τῆς ἁλουργίδος ἄνθος, οἵ τε ἀριθμούμενοι νόμοι καὶ φόροι, καὶ τὸ τῶν ἀρχομένων πλῆθος [l] συγκροτοῦν τούτοις τὴν βασιλείαν, ἀλλὰ δεῖ καὶ προσκυνήσεως αὐτοῖς, ὑφ' ἧς σεμνότεροι "δόξωσιν· "οὐχ ἵν' αὐτοὶ προσκυνῶνται μόνον, ἀλλὰ καὶ τοῖς ἐν [m] πλάσμασί τε καὶ χρώμασιν, ἵν' ᾖ τὸ σέβας αὐτοῖς ἀπληστότερόν τε καὶ τελεώτερον. ταύταις ταῖς εἰκόσιν ἄλλοι μὲν ἄλλο τι τῶν βασιλέων προσαναγράφεσθαι χαίρουσιν· οἱ μέν, τῶν πόλεων τὰς λαμπροτέρας δωροφορούσας· οἱ δέ, νίκας ὑπὲρ κεφαλῆς στεφανούσας· οἱ δέ, τοὺς ἐν τέλει προσκυνοῦντας καὶ τοῖς τῶν ἀρχῶν τιμωμένους [n] συνθήμασιν· οἱ δέ, θηροφονίας καὶ εὐστοχίας· οἱ δέ, βαρβάρων ἡττη-

γρ. δόξουσιν

γρ. οὐχ ἵν' αὐτοὶ προσκυνῶνται μόνον, ἀλλὰ καὶ

[i] ἐπιεικῶς] Ἀντὶ τοῦ ἐν ἐπιεικείας πλάσματι καὶ προσχήματι. τὸ δὲ ἐπίρρημα τοῦτο σημαίνει καὶ τὸ πάνυ, καὶ τὸ παράδοξον, καὶ παρ' ἐλπίδα, καὶ τὸ μετ' ἐπιεικείας καὶ χρηστότητος, ὥσπερ νῦν. σημαίνει καὶ τὸ μετρίως, ἤτοι συμμέτρως. [k] βασιλεύοντας] Καταγινώσκοντός ἐστι βασιλέων φανερῶς. [l] συγκροτεῖν] Ἐν μὲν ἑτέροις, τὸ συγκροτεῖν, ἀντὶ τοῦ διδάσκειν εἴρηται· ἐνταῦθα δὲ ἀντὶ τοῦ συνάγειν καὶ συνάπτειν καὶ συνιστᾶν. συγκροτεῖ οὖν, ἀντὶ τοῦ, συνδεῖ, καὶ πρὸς ἁρμονίαν ἄγει. τὸ δὲ δεῖ, ἀντὶ τοῦ, χρή, εἴρηται. τὸ, δεῖ, τέσσαρα ἔχει τὰ σημαινόμενα. δεῖ γοῦν, ἀντὶ τοῦ, χρή· καὶ δεῖ, ἀντὶ τοῦ, χρεία ἐστίν. οἷον, δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων. καὶ δεῖ, ἀντὶ τοῦ, δεσμεῖ. καὶ δέει, ἐν διαλύσει ἀντὶ τοῦ ἀπέχει.

[m] πλάσμασι] Ἐν ἀνδριᾶσι καὶ εἰκόσι χαλκαῖς. [n] συνθήμασιν] Ἃ καλοῦσι κωδικίλλια. τοῖς τῶν ἀρχόντων συνθήμασιν, εἴτ' οὖν συμβόλοις.

μένων

μθρων καὶ ὑπὸ τοῖς ποσὶν ἐρριμμένων πολυειδῆ σχήματα. φιλοῦσι γὰρ οὐ τὰς ἀληθείας τῶν πραγμάτων μόνον ἐφ' οἷς μέγα φρονοῦσιν, ἀλλὰ καὶ τὰ τύπων ἰνδάλματα. ὁ δὲ τί μηχανᾶται; καὶ τίνα τῶν Χριστιανῶν τοῖς στερροτέροις ἵστησι δόλον; ὥσπερ οἱ τοῖς βρώμασι καταμιγνῦντες τὰ [o] δηλητήρια, μίξαι ταῖς ἐξ ἔθους τῶν βασιλέων τιμαῖς τὴν ἀσέβειαν, καὶ εἰς ἓν ἀγαγεῖν νόμους Ῥωμαίων καὶ εἰδώλων προσκύνησιν. καὶ διὰ τοῦτο ταῖς [p] εἰκόσι συμπαραγράφων τοὺς δαίμονας, ὡς δή τινας ἄλλας τῶν ἐξ ἔθους γραφάς, προὐτίθει δήμοις καὶ πόλεσι, καὶ μάλιστα τοῖς τῶν ἐθνῶν ἄρχουσι τὰς εἰκόνας, ὡς κακοῦ γε τοῦ πάντως μὴ εἶναι διαμαρτεῖν, ἀλλ' ἢ τῇ τῶν βασιλέων τιμῇ τὴν τῶν εἰδώλων συμφέρεσθαι, ἢ τῇ τούτων φυγῇ τοὺς βασιλέας ὑβρίζεσθαι, μικτῆς οὔσης τῆς προσκυνήσεως. τοῦτον τὸν δόλον, καὶ ταύτην τὴν οὕτω σοφιστικῶς ἐπινοηθεῖσαν πάγην τῆς ἀσεβείας, ὀλίγοι μὲν διέφυγον τῶν εὐλαβεστέρων καὶ συνετωτέρων, οἳ καὶ δίκην ἔδοσαν τῆς συνέσεως, [q] πρόσχημα μὲν, ὡς εἰς τιμὴν βασιλέως παρανομήσαντες, τὸ δὲ ἀληθές, ὑπὲρ τοῦ ἀληθινοῦ βασιλέως, καὶ τοῦ εὐσεβοῦς δόγματος κινδυνεύσαντες· πολλοὶ δὲ ἥλωσαν τῶν εὐηθεστέρων καὶ ἁπλουστέρων, οἷς καὶ συγγνώμη τυχεῖν τῆς ἀγνοίας τέχνῃ συναρπασθεῖσιν εἰς τὴν ἀσέβειαν. τοῦτο μὲν δὴ τοιοῦτον, ὃ καὶ μόνον ἐξήρκει στηλιτεῦσαι βασιλέως προαίρεσιν. οὐ γὰρ τὰ αὐτὰ βασιλεῦσί τε καὶ ἰδιώταις πρέπειν ὑπολαμβανόμενον, ὅτι μηδὲ τῆς αὐτῆς ἀξίας ἀμφότερα. ἰδιώτῃ μὲν γὰρ καὶ τεχνικῶς πρᾶττειν τι συγχωρήσαιμεν (ᾧ γὰρ τὸ φανερῶς βιάζεσθαι μὴ δυνατὸν, τούτῳ συγγνωστὸν τὸ τῆς ἐπινοίας) βασιλεῖ δὲ, τῷ δυνάμει κρατεῖσθαι λίαν αἰσχροῦ τυγχάνοντος, ἔτι [r] αἴσχιον οἶμαι καὶ ἀπρεπέστερον, τὸ τέχνῃ κλέπτειν τὰς ἐγχειρήσεις καὶ τὰ προκείμενα.

γρ. δίκας

γρ. ἀμφότεροι. γρ. συγχωρήσομεν.

[o] Δηλητήρια] Παρὰ τὸ δηλήσασθαι, τὸ βλάπτειν. [p] τοῖς εἰκόσι] Διὰ τὴν μηχανὴν ταύτην καὶ τὸν δόλον, ὃν εἶπεν, ἤγειρεν. [q] πρόσχημα] Ἀντὶ τοῦ πρόφασιν μὲν, καὶ πλάσμα, καὶ περιπέτασμα δόλου. [r] αἴσχιον] Τὸ ἁπλοῦν αἰσχρὸν, τὸ συγκριτικὸν αἴσχιον.

Ἑτέρων δὲ, ὃ διανοίας μέν ἐστι καὶ προαιρέσεως τῆς αὐτῆς, τῷ μέτρῳ δὲ πολὺ χεῖρον καὶ ἀσεβέστερον, εἰς πλείους τοῦ κακοῦ [r] φθάνοντος, τοῦτο προσθήσω τοῖς εἰρημένοις. δωρεᾶς βασιλικῆς οὔσης ἡμέρα, εἴτ' οὖν ἐτήσιος, εἴτε τινὰ καὶ αὐτὰ τῷ βασιλεῖ [t] σχεδιασθεῖσα διὰ τὴν κακουργίαν· καὶ παρεῖναι τὸ στρατιωτικὸν ἔδει τιμηθησομένους, ὡς ἕκαστος ἀξίας εἶχεν ἢ τάξεως ([u] πάλιν ἡ τῆς ἀνελευθερίας σκηνὴ, πάλιν τὸ δρᾶμα τῆς ἀσεβείας) [x] φαρμαχθῆναι φιλανθρωπίᾳ τινὶ τὸ ἀπάνθρωπον, καὶ χρήμασι δελεασθῆναι στρατιωτικὴν ἀλογίαν τε καὶ ἀπληστίαν, [y] μεθ' ὧν τὰ πολλὰ βιοτεύουσιν. ὁ μὲν οὖν προὐκάθητο λαμπρὸς, λαμπρῶς πανηγυρίζων κατὰ τῆς εὐσεβείας, καὶ μέγα φρονῶν τοῖς τεχνάσμασι, Μελάμπους οἶμαί τις ἢ Πρωτεὺς, πάντα καὶ ὢν καὶ γινόμενος, καὶ ῥᾳδίως ἑαυτὸν μεταπλάττων τοῖς εἴδεσι. τὰ δὲ περὶ αὐτὸν οἷα, καὶ ὅσων ὀδυρμῶν τοῖς εὖ φρονοῦσιν ἄξια, οὐ τοῖς τότε παροῦσι μόνον, ἀλλὰ καὶ τοῖς νῦν ἀκοῇ δεχομένοις ἐκεῖνο τὸ θέαμα; προὔκειτο χρυσὸς, προὔκειτο λίβανος, ἐγγύθεν τὸ πῦρ, ὁ κελευστὴς πλησίον· καὶ τὸ [z] σχῆμα ὡς πιθανὸν βασιλικῆς δωρεᾶς τοῦτον εἶναι [δοκεῖν] τὸν νόμον τῆς γε ἀρχαιοτέρας τε καὶ τιμιωτέρας. εἶτα τί; θυμιᾶν ἔδει κατὰ τοῦ πυρὸς, καὶ δέχεσθαι παρὰ τοῦ βασιλέως τὸν τῆς ἀπωλείας μισθὸν, οὕτως ὀλίγον τοσούτου πράγματος, ψυχῶν ὅλων καὶ τῆς εἰς Θεὸν ἀσεβείας. φεῦ τῆς πραγματείας, φεῦ τῆς ἀντιδόσεως. στρατὸς ὅλος ἑνὸς τεχνάσματος ὤνιος ἦν, καὶ οἱ τὴν οἰκουμένην παραστησάμενοι, μικρῷ πυρὶ καὶ χρυσίῳ, καὶ διὰ κνίσσης ὀλίγης ἔπιπτον, οὐδὲ τὴν ἑαυτῶν σφαγὴν εἰδότες οἱ πλείους. τοῦτο γὰρ ἦν τὸ βαρύτατον. προσῄει τις ὡς κερδανῶν, καὶ οὐδὲ

γρ. πολλοὺς

[r] φθάνοντος.] Καταλαμβάνοντος. οὐ γὰρ νῦν προλαμβάνοντος. [t] σχεδιασθεῖσα] Ἐκ τοῦ εὐθέως καὶ παραχρῆμα ἐφευρηθεῖσα. [u] πάλιν] Ἀντὶ τοῦ, πάλιν τὸ προκάλυμμα, καὶ καταπέτασμα τοῦ σοφίζεσθαι καὶ τεχνάζεσθαι τὸν δῆλον περιβάλλεται.

[x] φαρμαχθῆναι] Μιχθῆναι καὶ συμπλακῆναι καὶ συντεθῆναι.

[y] μεθ' ὧν] Ἀλογίας καὶ ἀπληστίας. [z] σχῆμα] Ποῖον σχῆμα; τό, νόμον δοκεῖν βασιλικῆς δωρεᾶς ἀρχαιοτέρας.

ἑαυτὸν

ἑαυτὸν εἶχε μετὰ τὸ κέρδος· προσεκύνει δόξαν βασιλέως, καὶ τὴν αὐτόχειρα προσκύνησιν οὐκ ἠπίστατο. τοῖς δὲ γινώσκουσιν οὐδὲν ἦν πλέον ἅπαξ τῷ κακῷ προκατειλημμένοις, καὶ νόμον [a] ἄλυτον ἡγουμένοις τὴν προτέραν ἄνοιαν. ποῖαι ταῦτα Περσῶν μυριάδες, τίνες τοξόται, τίνες σφενδονῆται κατώρθωσαν, ποῖος σιδηροῦς στρατιώτης καὶ πανταχόθεν ἄτρωτος, τίνα κατὰ τῶν τειχῶν μηχανήματα, οἷα χεὶρ μία, καὶ καιρὸς εἷς, καὶ βουλὴ μιαρὰ κατεπράξατο;

Μίξω τι τούτοις διήγημα τῶν εἰρημένων ἐλεεινότερον. λέγονταί τοι τῶν ἁλόντων τινὲς ἐξ ἀγνοίας, ἐπειδὴ τοῦτο ἔπαθον καὶ ἀνεχώρησαν οἴκαδε, τοῖς συσσίτοις κοινωνεῖν τραπέζης· εἶτα τοῦ πότου ″παρελθόντος εἰς τὴν συνήθη ψυχροποσίαν, ὡς οὐδενὸς ὄντος αὖθις δεινοῦ, τῇ ψυχροφόρῳ [b] κύλικι Χριστὸν ἐπικαλεῖν μετὰ τῆς σφραγῖδος ἄνω βλέψαντας. τῶν δὲ συσσίτων τινὸς θαυμάσαντος, καὶ τί τοῦτο εἰπόντος, Χριστὸν ἐπικαλεῖσθε μετὰ τὴν ἄρνησιν; πῶς ἠρνήμεθα φάναι τοὺς ἡμιθνῆτας; καὶ τί τοῦτο τὸ καινὸν ἄκουσμα; τοῦ δὲ, ὅτι κατὰ τοῦ πυρὸς ἐθυμιάσατε φήσαντος, καὶ τοῦτο εἶναι διδάξαντος τὴν ἄρνησιν, εὐθὺς ἀναπηδήσαντες τοῦ συμποσίου, καθάπερ ἐκμανεῖς καὶ παραπλῆγες, [c] ζήλῳ καὶ θυμῷ ζέοντες, διὰ τῆς ἀγορᾶς θέειν βοῶντες καὶ λέγοντες· Χριστιανοὶ, Χριστιανοὶ τὰς ψυχὰς ἡμεῖς· ἀκουέτω πᾶς ἄνθρωπος, καὶ πρὸ πάντων Θεὸς, ᾧ καὶ ζῶμεν καὶ τεθνηξόμεθα· οὐκ ἐψευσάμεθά σε, σῶτερ Χριστὲ, οὐκ ἠρνησάμεθα τὴν μακαρίαν ὁμολογίαν. εἴ τι καὶ ἡ χεὶρ ἔπταισεν, ἀλλ' ἡ διά-

γρ. προελθόντος

[a] ἄλυτον.] Οὐ δεῖ δὲ οὕτως, ἀλλ' ἐπιστροφῇ καὶ μετανοίᾳ τὸ εὐσεβὲς εὐθὺς ἀναλαμβάνειν καὶ ἀνακτᾶσθαι. [b] Κύλικι] Κύλιξ εἶδος ποτηρίου καὶ φιάλης [illegible], πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. [c] ζήλῳ καὶ θυμῷ] Ζῆλός ἐστιν, ὡς ἤδη πολλάκις εἶπον, ἐπιθυμία τινὸς καλοῦ, ἐγγινομένη τῇ ψυχῇ ἀνὰ τοῦ [illegible] τῷ κεκλημένῳ. ἐπεθύμουν καὶ οὗτοι μιμήσασθαι ἁγίους μάρτυρας, τὸ ὑπὲρ τοῦ Χριστοῦ ἀποθανεῖν ἐκ μετανοίας γνωσιμαχήσαντες, μᾶλλον δὲ τῇ ὕστερον τοῦ κακοῦ συναισθήσει καὶ γνώσει, τῆς προλαβούσης ἀγνοίας καὶ σοφιστικῆς καὶ ἀπατηλῆς ἀρνήσεως τὸ ἁμάρτημα διὰ τῆς ὁμολογίας ἐξαφανίζοντες.

νοια

νοιά γε οὐκ ἠκολούθησε. βασιλεῖ κατεσοφίσθημεν, οὐ χρυσοῦ τραυματίαι γεγόναμεν. ἀπεκδυόμεθα τὴν ἀσέβειαν, αἵματι καθαιρόμεθα. εἶτα τῷ βασιλεῖ προσδραμόντες, καὶ τὸν χρυσὸν προσρίψαντες λίαν νεανικῶς, οὐ δῶρα δεδέγμεθα, βασιλεῦ, βοᾶν, ἀλλὰ θάνατον κατακεκρίμεθα· οὐκ εἰς τιμὴν ἐκλήθημεν, ἀλλ' ἀτιμίαν κατεψηφίσθημεν· δὸς χάριν τοῖς σοῖς στρατιώταις· Χριστῷ σφαγίασον ἡμᾶς, ᾧ μόνῳ βασιλεύομεν. ἀντίδος πῦρ τοῦ πυρὸς, τέφραν ἀντὶ τῆς τέφρας ἐκείνης ποίησον· ἀπόκοψον χεῖρας, ἃς κακῶς προὐτείναμεν, πόδας, οἷς κακῶς ἐδράμομεν. ἄλλους τῷ χρυσῷ τίμησον, οἷς οὐ μεταμελήσει λαβοῦσιν· ἡμῖν δὲ ἀρκεῖ Χριστὸς, ὃν ἀντὶ πάντων ἔχομεν. ταῦτα λέγειν τε ὁμοῦ, καὶ τοῖς ἄλλοις διακελεύεσθαι γνῶναι τὴν ἀπάτην, ἀνανῆψαι τῆς μέθης, ἀπολογήσασθαι τῷ Χριστῷ δι' αἵματος. ἐφ' οἷς ἀγανακλήσαντα τὸν βασιλέα, τὸ μὲν φανερῶς κτεῖναι φυγεῖν, ἵνα μὴ μάρτυρας ἐργάσηται τοὺς ὅσον τὸ ἐπ' αὐτοῖς μάρτυρας, ὑπερορίᾳ δὲ παραδόντα, οὕτως ἀμύνασθαι, καὶ μεγίστην εὐεργεσίαν καταθέσθαι τὸ πόρρω στῆσαι τῶν ἑαυτοῦ μιασμάτων καὶ τεχνασμάτων.

γρ. στρατ.
γρ. στήσασθαι

Καίπερ δὴ οὕτως ἔχων ὁρμῆς καὶ πρὸς πολλὰ τῇ κακοηθείᾳ χρησάμενος· ὅμως (οὐ γὰρ εἶχε πῆξιν τοῦ ἀνδρὸς ἡ διάνοια, οὐδὲ τῶν οἰκείων λογισμῶν μᾶλλον ἦν, ἢ τῆς φορᾶς τοῦ δαίμονος) οὐ διεφύλαξεν εἰς τέλος τὴν γνώμην, οὐδὲ τὸ τῆς πονηρίας ἀπόρρητον διεσώσατο. ἀλλ', ὥσπερ τὸ Αἰτναῖον πῦρ λέγεται τοῖς πυθμέσι τῆς Αἴτνης ἐγκρύπτεσθαι, κάτωθεν πλημμυροῦν, καὶ βίᾳ κρατούμενον (εἴτε τι ἄλλο τοῦτό ἐστιν, εἴτε ἆσθμα κολαζομένου γίγαντος) τέως μὲν φοβερὸν ὑπηχεῖν καὶ καπνὸν τοῦ κακοῦ [d] μήνυμα τῆς κορυφῆς ἀπερεύγεσθαι· εἰ δέ που πλεονάσαν τύχοι καὶ δυσκάθεκτον γένοιτο, τῶν οἰκείων κόλπων ἀποβρασθὲν, ἄνω φερόμενον, καὶ ὑπὲρ τοὺς κρατῆρας χεόμενον, ἔστιν ἃ καὶ τῆς ὑποκειμένης

γρ. δὲ
γρ. κακονοίᾳ

[d] Μήνυμα] Τοῦ κακοῦ τοῦ μικρὸν ὕστερον ἐσομένου δῆλον ὅτι· ἐξαίφνης γὰρ ἀναδοθὲν τὸ πῦρ ἕλκεται ποταμοῦ δίκην ἐπὶ τὸ πολύ.

γῆς

γῆς φθείρειν ἀπίστῳ καὶ φοβερῷ ῥεύματι· οὕτω κἀκεῖνόν ἐστιν εὑρεῖν, ἄχρι μὲν τινος ἑαυτοῦ κρατοῦντα, καὶ τοῦ σοφιστικοῦ [e] δόγματος, ἀπάτῃ τε " διατιθέντα κακῶς τὰ ἡμέτερα· εἰ δέ που τὸ ἀκρατὲς τῆς ὀργῆς ὑπερβλύσειε, μηδὲ κρύπτειν δύνασθαι τὸ κακόηθες, ἀλλὰ γυμνῷ χρῆσθαι τῷ διωγμῷ κατὰ τοῦ θείου καὶ εὐσεβοῦς ἡμῶν συντάγματος. [f] ἵνα γὰρ ἐάσω τὰ κατὰ τῶν ἁγίων οἴκων παρατάγματα, δημοσίᾳ τε παραπιθέμενα καὶ ἰδίᾳ [g] πληρούμενα, καὶ σύλησιν ἀναθημάτων τε καὶ χρημάτων, οὐ μᾶλλον ἐξ ἀσεβείας ἢ ἀπληστίας, καὶ σκευῶν ἱερῶν ἁρπαγὴν χερσὶ βεβήλοις ὑβριζομένων, τούς τε [h] ὑπὲρ τούτων ἀγομένους καὶ στρεβλουμένους ἱερεῖς τε καὶ ἀρχομένους, καὶ τοὺς πλήρεις αἱμάτων κίονας ταῖς τούτων χερσὶ κυκλουμένους καὶ ζωννυμένους ξαινομένων ταῖς μάστιξι, τούς τε διαθέοντας τοξότας κατὰ χώρας καὶ πόλεις ὠμοτέρους καὶ θερμοτέρους τοῦ ταῦτα ἐπιτάττοντος (ὡς ἂν ἀντὶ Περσῶν καὶ Σκυθῶν, καὶ τῶν ἄλλων βαρβάρων ἡμᾶς παραστήσωνται) ἵνα μὴ ταῦτα λέγω, τίς οὐκ οἶδε τὴν Ἀλεξανδρέων ἀπόνοιαν θεοφιλῶν; οἳ πρὸς πολλοῖς ἄλλοις, οἷς ἐνεανιεύσαντο καθ' ἡμῶν, ἀμέτρως τῷ καιρῷ χρησάμενοι (δῆμος ὄντες στασιώδης φύσει καὶ μανικὸς) ἔτι καὶ τοῦτο λέγεται), προσθεῖναι τοῖς ἀσεβήμασιν, αἵματος διπλοῦ τὸν ἱερὸν οἶκον ἡμῶν ἐμπλῆσαι, ὅσος τε θυσιῶν, καὶ ὅσος ἀνθρώπων· καὶ ταῦτα ἐργάσασθαι στρατηγοῦντος ἑνός τινος τῶν βασιλικῶν φιλοσόφων ἐκ τούτων μόνον ὀνομασθέντος. Τίς ἀγνοεῖ τὴν [i] Ἡλιουπολιτῶν συστροφήν; τίς τὴν Γαζαίων ἀπόνοιαν τῶν ὑπ' ἐκείνου θαυμαζομένων [καὶ τιμωμένων], ὅτι καλῶς αὐτοῦ τῆς μεγαλοπρεπείας ᾔσθοντο; τίς τὴν Ἀρεθουσίων μανίαν τῶν τέως ἀγνοουμένων, ἐξ ἐκείνου δὲ τοῦ καιροῦ καὶ λίαν " γινωσκομένων; ποιεῖ γὰρ περιβοήτους οὐ δεξιὰ πρᾶξις μόνον, ἀλλὰ καὶ κακία νικῶσα

γ. διατιθέναι

γ. ἐπιγινωσκ.

---

[e] δόγματος] Καθ' ὃ μὴ φανερῶς τέως ὁ τύραννος ἐβιάζετο.

[f] ἵνα ἐάσω] Τὸ καθ' ὑποσιώπησιν σχῆμα, δι' οὗ λέγων ἐξ ἐπι[illegible]ρομῆς, δοκεῖ μὴ λέγειν.

[g] πληρούμενα] Παρ' ἑκάστοις τῶν δήμων δηλονότι.

[h] ὑπὲρ τούτων] Ὑπὲρ τῶν οἴκων τῶν ἱερῶν, λαϊκοὺς ἢ διακόνους, μᾶλλον δὲ πάντας ἁπλῶς τοὺς ὑπὸ τοῖς ἱερεῦσιν.

[i] Ἡλιουπολιτῶν] Ἡ δὲ λέξις, τὸ χριστιανοὺς ὅσοι μέχρι παίειν ὁμοῦ καὶ κλείνειν.

πονηρῶν

πονηρῶν εὐδοκίμησιν. τοῦτο μὲν γὰρ λέγονται (δεῖ γὰρ ἐκ πολλῶν ἓν εἰπεῖν φρίκης καὶ τοῖς ἀθέοις ἄξιον) παρθένους ἁγνὰς καὶ ὑπερκοσμίους, ἀψαύστους μικροῦ καὶ ὀφθαλμοῖς ἀρρένων, εἰς μέσον παραγαγόντες, καὶ τῆς ἐσθῆτος γυμνώσαντες, ἵνα τῇ θέᾳ πρότερον ἐνυβρίσωσιν, εἶτ' ἀνακείραντες καὶ διχάσαντες (ὢ πῶς ἐνέγκω σου, Χριστὲ, τὴν τότε μακροθυμίαν;) τοῦτο μὲν καὶ ἰδίοις ὀδοῦσι [κακῶς] ἑστιαθῆναι, καὶ, τῆς ἑαυτῶν κακοδαιμονίας ἀξίως, ὠμῶν τῶν ἡπάτων ἐμφορηθῆναι, καὶ μετ' ἐκείνην τὴν τροφὴν, ἄλλην προσενέγκασθαι τὴν κοινήν τε καὶ νενομισμένην· τοῦτο δὲ σπαίρουσιν ἔτι τοῖς σπλάγχνοις συώδη τροφὴν ἐπισπείραντες, καὶ συῶν ἐπαφέντες τοὺς θερμοτέρους, οἷον ἀγαγεῖν ἐκεῖνο τὸ θέατρον σάρκας ἰδεῖν κριθαῖς συνεσθιομένας καὶ σπαραττομένας, τροφὴν δι' ἀμίκτον καὶ τότε πρῶτον[k] ὀφθεῖσαν καὶ ἀκουσθεῖσαν· ἣν θρέψαι μόνους τοὺς ἑαυτοῦ δαίμονας ὁ τούτων δημιουργὸς ἄξιος ἦν· ὡς μὲν οὖν καὶ [γρ. ὄντως μὲν οὖν καλῶς ἐθρ.] καλῶς ἔθρεψεν ἐκ τοῦ αἵματος ἐκείνου καὶ τῆς πληγῆς ἣν κατὰ τῶν σπλάγχνων ἐδέξατο, κἂν δυσμαθήτως ἔχωσι πρὸς τὰ τοιαῦτα τοῦτο δείλαιοι, καὶ μηδὲ τὸ φρονεῖν ἐκ τῆς δυσσεβείας ἔχοντες.

Τὸ δέ γε Μάρκου θαυμασίου καὶ Ἀρεθουσίων, τίς οὕτως ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης ὥστε ἀγνοεῖν, καὶ μὴ φθάνειν τῇ διηγήσει τοὺς μνημονεύοντας; οὗτος ἐπὶ Κωνσταντίου, τοῦ πάνυ, κατὰ τὴν τότε δεδομένην ἐξουσίαν Χριστιανοῖς, δαιμόνων τι καθελὼν οἰκητήριον, καὶ πολλοὺς Χριστιανῶν ἀπὸ τῆς Ἑλληνικῆς πλάνης μεταστήσας εἰς σωτηρίαν, οὐχ ἧττον διὰ τὴν τοῦ βίου λαμπρότητα, ἢ τὴν τοῦ λόγου δύναμιν, ἦν μὲν ἐκ πλείονος ἐν ὀργῇ τοῖς Ἀρεθουσίοις, μᾶλλον δὲ Ἀρεθουσίων τοῖς φιλοδαίμοσιν. ἐπεὶ δὲ τὰ πράγματα ἐκινήθη Χριστιανοῖς, καὶ τὰ τῶν Ἑλλήνων φλεγμαίνειν ἤρξατο, τὴν τοῦ καιροῦ δυναστείαν οὐκ ἔφυγε. φιλοῦσι γὰρ τοῦτο δῆμοι, κἂν πρὸς τὸ παρὸν κατάσχωσι ταῖς ὁρμαῖς [γρ. ὀργαῖς] (ὥσπερ πῦρ ἐμ-

[k] ὀφθεῖσαν] Μίξεως φύσις ἦν ὁμοίαν οὐκ ἔχουσα. τίς γὰρ λέγεται πλὴν τούτων, κριθαῖς μίξαι σάρκας ἀνθρώπων, καὶ τροφὴν τοῖς χοίροις παραθεῖναι;

φωλεῦον

φωλεῦον ὕλαις, ἢ ῥεῦμα βίᾳ κατερχόμενον) εἰ χαλεποῦ λάβοιντο, ἀνάπτεσθαί τε καὶ ἀναρρήγνυσθαι. ὁρῶν οὖν τὴν τοῦ δήμου κίνησιν ἐπ' αὐτὸν ἰοῦσαν οὐδὲν μέτριον ἢ ἐνθουσιώντων ἢ ἀπειλούντων, τὰ μὲν πρῶτα δρασμὸν βουλεύεται· οὐ δι' ἀνανδρίαν μᾶλλον, ἢ τὴν φυγὴν ἐκ Ματθ. ι. κγ.
πόλεως εἰς πόλιν κελεύουσαν ἐντολὴν καὶ ὑποχωρεῖν τοῖς διώκταις. χρῆναι γὰρ μὴ τὰ ἑαυτῶν σκοπεῖν Χριστιανοὺς ὄντας μόνον (μηδὲ εἰ λίαν εἶεν ἀνδρειότατοί τε καὶ καρτερικώτατοι) ἀλλὰ καὶ τῶν διωκόντων φείδεσθαι, ὡς, ὅτι εἰς αὐτοὺς ἧκον μέρους, μὴ τῷ κινδύνῳ τι συνεισφέρειν τῶν πολεμίων. ἐπεὶ δὲ ᾔσθετο πολλοὺς μὲν δι' αὐτὸν ἑλκομένους καὶ ἀγομένους, πολλοὺς δὲ τὸν περὶ ψυχῆς τρεχόντων διὰ τὴν τῶν διωκόντων ὠμότητα, οὐκ ἠνέσχετο τῆς καθ' ἑαυτὸν ἀσφαλείας τοὺς ἄλλους περιορᾶν κινδυνεύοντας. καὶ διὰ τοῦτο βουλεύεται βουλὴν ἀρίστην τε καὶ φιλοσοφωτάτην· ἐκ τῆς φυγῆς ἐπάνεισι, καὶ τῷ δήμῳ φέρων ἑαυτὸν ἐκδίδωσι χρῆσθαι ὅ,τι βούλοιντο, καὶ πρὸς τὴν τοῦ χαλεποῦ παρατάσσεται δυσκολίαν. ἐνταῦθα τί μὲν ἀπῆν τῶν δεινῶν; τί δὲ οὐκ ἐπενοεῖτο βαρύτερον, ἄλλων ἄλλο τι συνεισφερόντων πρὸς ἑνὸς κακοῦ συμφωνίαν, οὐδὲ τὸ φιλόσοφον τοῦ ἀνδρὸς αἰδουμένων (εἰ μή τι ἄλλο) τῶν ἐγκειμένων· διὰ τοῦτο μὲν οὖν καὶ πλέον ἀγανακτούντων ὅτι περιφρόνησιν αὐτῶν μᾶλλον, ἢ ἀνδρείαν πρὸς τοὺς κινδύνους τὴν τοῦ
γρ. παῤῥησίαν ἀνδρὸς παρουσίαν ἐνόμιζον; ἤγετο γέρων ἱερεὺς, ἀθλητὴς ἐθελοντὴς, διὰ μέσης τῆς πόλεως, αἰδέσιμος τὴν ἡλικίαν, τὴν πολιτείαν αἰδεσιμώτερος πᾶσι πλὴν τῶν διωκόντων καὶ τυραννούντων. ἤγετο δὲ ἡλικίᾳ [1] πάσῃ καὶ τύχῃ πάσῃ· οὐ τῷ μὲν, τῷ δὲ οὔ. πᾶσι δὲ ὁμοίως, ἀνδράσι, γυναιξὶ, νέοις, πρεσβύταις, ὅσοι τε τὰ πολιτικὰ διῴκουν, καὶ ὅσοι τῶν ἐπ' ἀξίας. ἀγὼν δὲ ἦν ἅπασιν εἰς ἀλλήλους ὑπερβάλλεσθαι τῇ περὶ τὸν πρεσβύτην θρασύτητι· καὶ μέρος εὐσεβείας ἅπασιν ἐνομίζετο, ὅτι πλεῖστα ἐκεῖνον δρᾶσαι κακὰ, καὶ

[1] πάσῃ καὶ τύχῃ] Ἀντὶ τοῦ, πλουσίῳ καὶ πένητι, καὶ ἄρχοντι καὶ ἀρχομένῳ, καὶ δούλῳ καὶ ἐλευθέρῳ.

γέροντα νικῆσαι ἀθλητὴν νίκην αἰσχίστην κατὰ πάσης ἀγωνιζόμενον τῆς πόλεως. Εἵλκετο διὰ πλατειῶν, ὠθεῖτο καθ' ὑπονόμων, τῶν τριχῶν εἵλκετο, οὐκ ἔστιν ὅτου μὴ μέρους τοῦ σώματος (μισουμένης τῇ αἰκίᾳ τῆς ὕβρεως) παρὰ τῶν ἀξίως ἐν Μίθρου ταῦτα κολαζομένων. παισὶν ἐκ παίδων μετέωρος ἀνεπέμπετο γραφίσιν ὑποδεχομένων τὸ γενναῖον σῶμα, καὶ παίγνιον ποιουμένων τὴν τραγῳδίαν· πιέσμασι τὰς κνήμας ἐθλίβετο μέχρις ὀστέων αὐτῶν· λίνοις τὰ ὦτα διετέμνετο, καὶ τούτων τοῖς στερροτάτοις καὶ λεπτοτάτοις· σαργάνῃ πρὸς ὕψος αἰρούμενος, μέλιτι καὶ γάρῳ διάβροχος, σφηξὶ καὶ μελίτταις ἐξῃτεῖτο μεσούσης ἡμέρας ἡλίου τὸ φλογῶδες ἐλλάμποντος,[m] καὶ τοῦ μὲν τὰς σάρκας ἐκτήκοντος, τοῖς δὲ θερμοτέραν ποιοῦντος τὴν βρῶσιν τῶν μακαρίων ἐκείνων σαρκῶν· οὐ γὰρ ἀθλίων ἂν εἴποιμι. ἐνταῦθα δὴ λέγεται (ὡς ἂν καὶ τοῦτο ἀξιωθείη γραφῆς) ὁ πρεσβύτης ἐκεῖνος καὶ νέος πρὸς τοὺς ἀγῶνας (μηδὲ γὰρ ἐν τοῖς δεινοῖς τὸ φαιδρὸν ἀπολιπεῖν, ἀλλὰ καὶ ἐντρυφᾶν ταῖς βασάνοις) τὸ μνημονευόμενον ἐκεῖνο καὶ ᾀδόμενον ἐπειπεῖν, ὡς ἐπινοίη τὸ [n] σύμβολον, ἑαυτὸν μὲν ὑψηλὸν ὁρᾶν, ἐκείνους δὲ ταπεινοὺς καὶ κάτω κειμένους. τοσοῦτον περιῆν τῶν κρατούντων, καὶ οὕτως ἦν πόρρω λυπηρῶν, ὡς ἄλλῳ περὶ ὧν κινδυνεύοντι, καὶ πομπὴν, ἀλλ' οὐ συμφορὰν τὸ πρᾶγμα ποιούμενος. καίτοι ταῦτα τίς οὐκ ἂν ᾐδέσθη τῶν καὶ μετρίως ἐπιεικῶν τε καὶ φιλανθρώπων; ἀλλ' οὐκ ἐκείνους γε εἴασεν ὁ καιρὸς, οὐδὲ ἡ τοῦ βασιλέως ὁρμὴ, τὸ ἀπάνθρωπον ἀπαιτοῦσα καὶ δήμους καὶ πόλεις καὶ ἄρχον-

γρ. αἰωρούμενος,
γρ. μέσης
γρ. τοῦ μὲν

[m] Καὶ τοῦ μὲν τὰς σάρκας] Τοῖς σφηξὶ καὶ ταῖς μελίτταις. ἴσμεν δὲ ἐκεῖνο, ὅτι ἀρρενικοῦ καὶ θηλυκοῦ συνημμένων, κἂν πλεῖον ᾖ τὸ θηλυκὸν, ἓν δὲ τὸ ἀρσενικὸν, τὸ ἀρσενικὸν ἐπικρατεῖ. [n] σύμβολον,] Εἴποι ἄν τις ἴσως ἰδοὺ καὶ οἱ ἅγιοι προσέχειν ἴσασι συμβόλοις. λέγομεν οὖν ὅτι ἐκεῖνοι καθαροὶ καὶ ἅγιοι ὄντες, καὶ διαυγέσιν ἀεὶ τοῖς τῆς ἀληθείας κατόπτροις ἐνατενίζοντες, πάντα καθαρῶς ἑώρων. κἀντεῦθεν οὐδὲν ἦν τῶν μακαρίων ἐκείνων ἀνδρῶν, ὃ μὴ τῇ ἀληθείᾳ, ἢ μὲν ἐλέγετο, ἢ δὲ ἐπράττετο· ἡμεῖς δὲ τούτου τοῦ μέτρου, καὶ τοῦ ὕψους τῆς ἀρετῆς πλεῖστον, καὶ πάνυ ὁμολογουμένως ἀπολειπόμενοι, οὐδενὶ τοιούτων ἐπιχειρεῖν, ἢ ὅλως προσέχειν ὀφείλομεν, οἷς ὀλίγα μὲν τὰ τῆς ἀληθείας αἰνίγματα, πλείστη δὲ ταύτης ἡ ἄγνοια.

ται, εἰ καὶ μὴ τοῖς πολλοῖς ἐδόκει τῶν ἀγνοούντων τὸ βάθος τῆς ἐκείνου κακοηθείας. τοιαῦτα ἡμῖν τὰ τοῦ στερροῦ γέροντος· καὶ ταῦτα ὑπὲρ τίνος; ἵνα ° χρυσοῦ ἕνα μὴ προῆται τοῖς βασανισταῖς· ᾧ καὶ δῆλον, ὡς ὑπὲρ εὐσεβείας διεκαρτέρει. ἕως μὲν γὰρ βαρυτάτην ποιησάμενοι τοῦ ναοῦ τὴν ἀποτίμησιν, τὸ πᾶν ἤτουν χρυσίον, ἢ αὐτόν γε ἀναδείμασθαι τὸν νεὼν ἐκέλευον, ἐδόκει τὸ ἀδύνατον οὐ τοῦ ἐπιτάγματος μᾶλλον, ἢ τὸ εὐσεβὲς τῆς ψυχῆς, ποιεῖν ἐκείνῳ τὴν ἔνστασιν. ἐπεὶ δὲ νικῶν αὐτοὺς κατὰ μικρὸν τῇ καρτερίᾳ, καὶ ὑφαιρῶν ἀεί τι τῆς ἀποτιμήσεως τελευταῖον εἰς τοῦτο κατέστησεν, ὡς κομιδῇ μικρὸν εἶναι τὸ αἰτούμενον, καὶ ὅσον ῥᾷστον καταβαλεῖν, καὶ ἴσος ἀγὼν ἦν τοῖς μὲν νικῆσαι τῷ καὶ ὁποιοῦν λαβεῖν, τῷ δὲ μὴ κρατηθῆναι τῷ μηδὲ ὅλως καταβαλεῖν (καίτοι πολλῶν ὄντων τῶν καὶ πλεῖον συνεισφέρειν προθυμουμένων, οὐ μόνον διὰ τὴν εὐσέβειαν, ἀλλὰ καὶ διὰ τὸ τοῦ ἀνδρὸς ἀνάλωτον καὶ ἀήττητον) τηνικαῦτα ἐδείχθη σαφῶς οὐ περὶ χρημάτων, ἀλλὰ περὶ τοῦ εὐσεβοῦς τὸν ἀγῶνα τιθέμενος. ἆρ' οὖν ἐπιεικείας ταῦτα καὶ ἡμερότητος, ἢ τοὐναντίον θράσους καὶ ἀπανθρωπίας ἐστὶ γνωρίσματα, λεγέτωσαν ἡμῖν οἱ τὸν φιλόσοφον βασιλέα θαυμάζοντες. ἐγὼ μὲν οὐδένα τῶν πάντων ἀπορεῖν οἶμαι τῆς δικαίας καὶ ἀληθοῦς ἀποκρίσεως *. καὶ οὔπω προστέθεικα, ὅτι τῶν σεσωκότων τὸν ἐξάγιστον (ἐῴκει δὲ ἴσως αὐτῷ τοῦτο κινδυνεύειν) καὶ διὰ κλοπῆς ὑπεξαγαγόντων εἷς οὗτος ἦν· ὑπὲρ οὗ τάχα μόνου δικαίως ταῦτα ἔπασχε, καὶ πλείω προσπαθεῖν ἄξιος ἦν, ὅτι κακὸν τοσοῦτον τῇ οἰκουμένῃ πάσῃ σώζων ἐλάνθανε. φασί τοι διὰ ταῦτα

γρ. μέρος

γρ. διεδείχθη

* μηδὲν μετεῖναι φιλανθρωπίας.

° Χρυσοῦ] Ἀπῄτουν γὰρ αὐτὸν ἢ τὸν ναὸν αὐτοῖς ἀναδείμασθαι καὶ ἀνοικοδομῆσαι ὃν καθεῖλεν, ἢ χρυσίον οὐκ ὀλίγον εἰς τὴν οἰκοδομίαν ἀποτῖσαι. ὕστερον δὲ καὶ εἰς ὀλίγον πάνυ καταστάντες, οὐδ' ὡς πειθόμενον ηὕρισκον. ᾧ δῆλον ἐγένετο, ὡς ὑπὲρ εὐσεβείας μᾶλλον ἢ ἀδυναμίας, ἐκείνῳ τὰ τῆς ἐνστάσεως εἴη. εἰς ὅσον μὲν γὰρ τὸ πλεῖον ἀπῄτουν, ὑπόνοια ἦν τοῦ, διὰ τῆς τῶν χρημάτων ἀπορίας, ἀλγηδόνας ἀνάγκῃ φέρειν· ἐπειδὴ δὲ κάμνοντες εἰς νόμισμα ἦλθον, τότε σαφῶς ἐγνώσθη (ἐνεδίδου γὰρ οὐδ' οὕτως) ὡς οὐ τῇ τῶν χρημάτων ἀπορίᾳ τὰς βασάνους ὁ γέρων ὑπέμεινεν, ἀλλ' ὑπὲρ τοῦ μὴ μέγα ἢ μικρὸν τοῖς βασανισταῖς προέσθαι τὸν ἀσεβῆ.

καὶ τὸν τηνικαῦτα ὕπαρχον (ἠμέλει γὰρ ἄνδρα Ἕλληνα μὲν τὴν θρησκείαν, τὸν τρόπον δὲ ὑπὲρ Ἕλληνα, καὶ κατὰ τοὺς ἀρίστους τῶν πάλαι καὶ νῦν ἐπαινουμένων) ἐκεῖνο πρὸς τὸν βασιλέα μετὰ παρρησίας εἰπεῖν, οὐ φέροντα τὸ πολυειδὲς τῆς τοῦ ἀνδρὸς αἰκίας καὶ καρτερίας· Οὐκ αἰσχυνόμεθα, βασιλεῦ, παρὰ τοσοῦτον ἡττώμενοι πάντων Χριστιανῶν, ὡς μηδὲ γέροντος ἑνὸς κρατῆσαι δυνηθῆναι πάσας διεξελθόντος βασάνους; καὶ οὐ κρατῆσαι μὴ μέγα, τοῦτο πῶς οὐ τῆς ἐσχάτης συμφορᾶς ἀπελθεῖν ἡττημένους; καί, ὡς ἔοικε, τοῖς αὐτοῖς ὕπαρχοι μὲν ᾐσχύνοντο, βασιλεὺς δὲ ἐκαλλωπίζοντο. τούτων δ' ἂν γένοιτο τοῖς δρῶσι μᾶλλον ἀθλιώτερον, ἢ τοῖς πάσχουσι; γρ. ἔπαρχοι γρ. ὥστε γρ. ἔπαρχοι

Τὰ μὲν δὴ τῶν Ἀρεθουσίων τοιαῦτα καὶ οὕτως ἔχοντα, ὡς μικρὰν εἶναι τὴν Ἐχέτου καὶ Φαλάριδος ἀπανθρωπίαν πρὸς τὴν ἐκείνων ὠμότητα, μᾶλλον δὲ τοῦ ταῦτα πείθοντος καὶ κατασκευάζοντος, εἴπερ τοῦ σπέρματος τὰ βλαστήματα, καὶ τοῦ πνεύματος τὰ ναυάγια. τἄλλα δέ, οἷα καὶ ὅσα; τίς ἄν μοι δοίη τὴν Ἡροδότου καὶ Θουκυδίδου σχολήν τε καὶ γλῶτταν, ἵνα καὶ τῷ μέλλοντι χρόνῳ παραδῶ τὴν τοῦ ἀνδρὸς πονηρίαν, καὶ στηλιτευθῇ τοῖς μετέπειτα τὰ τοῦ καιροῦ διηγήματα; σιωπήσομαι τὸν Ὀρόντην, καὶ τοὺς νυκτερινοὺς νεκρούς, οὓς τῷ βασιλεῖ συνέκρυπτεν ἐπὶ τὸ στεινόμενος νεκύεσσι καὶ κλείνων ἀδήλως. ἐνταῦθα γὰρ τὰ τοῦ ἔπους εἰπεῖν οἰκειότερον. παραδραμοῦμαι καὶ τῶν βασιλείων τὰ κοῖλα, καὶ ἀπωτάτω, ὅσα τε ἐν λάκκοις καὶ φρέασι, καὶ [p] διώρυξι, κακῶν γέμοντα θησαυρῶν τε καὶ μυστηρίων, οὐ μόνον τῶν ἀνατεμνομένων παίδων τε καὶ παρθένων ἐπὶ [q] ψυχαγωγίᾳ καὶ μαντείᾳ καὶ θυσίαις οὐ [r] νενομισμέναις, ἀλλὰ καὶ τῶν ὑπὲρ εὐσεβείας κινδυνευόντων. συγχωρήσωμεν, εἰ δοκεῖ, ταῦτα, οἷς κἀκεῖνος ᾐσχύνετο, τοῦτό γε ποιῶν μέτριον. δῆλον δὲ τῷ κρύπτειν γρ. τὸ ναυάγια

[p] διώρυξ] Ἔστιν αὐτὸς ὁ πορθμός· διωρυχὴ δὲ αὐτὸ τὸ διορύσσειν, ἵνα διῶρυξ ᾖ πορθμός. λέγεται καὶ ταύτην ἔχειν τὴν διαφορὰν ἡ διωρυχὴ πρὸς τὴν διώρυχα, ἣν ἔχει ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν· κἀκεῖ γὰρ ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν ὁδός ἐστι. [q] ψυχαγωγίᾳ] Ἀντὶ τοῦ, ἐπὶ τῷ ψυχὰς δῆθεν ἐκ τοῦ ᾅδου ἀναγαγεῖν πρὸς τὴν μαντείαν. [r] Νενομισμέναις] Γοητῶν γὰρ μᾶλλον ἢ Ἑλλήνων ἐστί.

ἐπιχειρεῖν,

ἐπιχειρεῖν, ὡς οὐκ εὐπρεπὲς ὂν τὸ ἄγος δημοσιεύεσθαι. Τὰ μὲν γὰρ Καισαρέων τῶν ἡμετέρων, τούτων δὴ τῶν μεγαλοφυῶν καὶ θερμῶν εἰς εὐσέβειαν, οὕτως ὑπ' αὐτοῦ περιεληλαμένων καὶ ὑβρισμένων, ἴσως οὐδὲν ὀνειδίζειν ἄξιον. ἐδόκει γὰρ ὑπὸ τῆς τύχης ἐνδίκως ἀγανακτῶν, ἐν καιρῷ τῆς εὐτυχίας ἀτυχησάσης, ἐπὶ ταύτην προεληλυθέναι τὴν ἀντίδοσιν· ἐπειδὴ δεῖ τι καὶ συγχωρεῖν καὶ ἀδικίᾳ κατακρατούσῃ. ἀλλὰ τίς οὐκ οἶδεν ὡς δήμου τινὸς ἐπιμανέντος Χριστιανοῖς, καὶ πολλοὺς μὲν ἐργασαμένων φόνον, πλείω δὲ ἀπειλούντων, ἐπειδὴ [s] μέσην βαδίζων ὁ τοῦ ἔθνους ἄρχων τοῦ καιροῦ καὶ τῶν νόμων (τῷ μὲν γὰρ δουλεύειν ᾤετο δεῖν, τοὺς δὲ μετρίως ᾐσχύνετο) καὶ διὰ τοῦτο πολλοὺς μὲν ἀπαγαγὼν Χριστιανῶν, ὀλίγοις δὲ τῶν Ἑλλήνων ἐπιτιμήσας, εἶτ' ἀναχθεὶς τῷ βασιλεῖ, κατηγορίας γενομένης ἄτιμος καὶ ἀνάρπαστος περὶ τούτων ἐγίνετο, καὶ τοὺς νόμους προεβάλλετο καθ' οὓς ἐπιστεύθη δικάζειν· μικροῦ μὲν ἀπήχθη τὴν ἐπὶ θανάτῳ, τέλος δὲ φιλανθρωπίας τυχὼν ὑπερορίαν κατακρίνεται; καὶ ἡ ἀπόφασις ὡς θαυμασία τε καὶ φιλάνθρωπος; τί γὰρ μέγα (φησὶν ὁ δίκαιος δικαστής, καὶ μὴ διώκων Χριστιανούς) εἰ Γαλιλαίους δέκα μία χεὶρ Ἑλληνικὴ κατειργάσατο; Ταῦτα οὐκ ὠμότης περιφανής; ταῦτα οὐ [t] πρόγραμμα διωγμοῦ, καὶ πολύ γε τῶν δημοσίᾳ προτιθεμένων ἐναργέστερον καὶ φοβερώτερον; τί γὰρ διαφέρει τοὺς κινδύνους προστάξαι Χριστιανοῖς, ἢ τοῖς διώκταις Χριστιανῶν ἡδόμενον φαίνεσθαι, καὶ μέγα ἔγκλημα ποιεῖσθαι τὸ μετριάζειν; τὸ γὰρ βούλεσθαι βασιλέως, ἄγραφός ἐστι νόμος, τῷ κράτει συνηγορούμενος, καὶ πολύ γε τῶν γραπτῶν ἰσχυρότερος τῶν

[s] μέσην βαδίζων] Ἀντὶ τοῦ μήτε Ἕλλησι λίαν, μήτε Χριστιανοῖς προσκείμενος, ἀλλὰ πρὸς ἀμφοτέρους μέσως πως ἔχων. ἄλλως· ἀπόδοσις, τίς οὐκ οἶδεν ὅτι, δήμου τινὸς ἐπιμανέντος ἡμῖν, ἐπειδὴ μέσην βαδίζων ὁ τοῦ ἔθνους ἄρχων, ἄτιμος ἐγίνετο; τὸ γὰρ μετρίως καὶ μέσως πως ἔχειν περὶ ἡμᾶς, ἔγκλημα μέγα Ἰουλιανὸς ἐποιεῖτο.

[t] πρόγραμμα] Οἱ Ἀθηναῖοι βουλεύειν τῆς βουλῆς μελλούσης, ἢ μέλλοντος ἐκκλησιάζειν τοῦ δήμου, προέγραφον, ὅτι τῇδε τῇ ἡμέρᾳ ὁ δῆμος ἐκκλησιάζει, ἢ ἡ βουλὴ βουλεύει, καὶ τοῦτο ἐκάλουν πρόγραμμα.

οὐ δυναστείᾳ βοηθουμένων. οὔ, φασιν οἱ τὰ ἐκείνου σέβοντες, ἢ τὸν "νέον ἡμῖν Θεὸν ἀναπλάττοντες, ὡς ἥδιον καὶ φιλάνθρωπον, ἀλλ' ὅτι μὴ δημοσίᾳ διωκέσθωσαν Χριστιανοὶ, προσέθηκε, καὶ πάντα παρέτυσαν ὅσα δίκης τοῖς διώκουσιν, ἀφιέντες αὐτὸν τῆς τοῦ διώκειν αἰτίας. τὴν ὕδραν δὲ οὐδεὶς πώποτε εἶπεν ἡμέραν, ὅτι ἐννέα κεφαλὰς ἀντὶ μιᾶς προσεβάλλετο (εἴ τι τῷ μύθῳ πιστέον) οὐδὲ τὴν Παταρικὴν χίμαιραν, ὅτι τρεῖς καὶ ἀνομοίους, ὥστε εἶναι φοβερωτέραν ἢ τὸν ἐν ᾅδου Κέρβερον, ὅτι τοσαύτας τε καὶ ὁμοίας· ἢ τὸ θαλάττιον κακὸν τὴν Σκύλλαν, ὅτι ἓξ ἐν κύκλῳ καὶ φρικωδεστάτας, καίτοιγε τὰ ἄνω φασὶν αὐτῆς χρηστὰ καὶ φιλάνθρωπα καὶ εἰς ὄψιν οὐκ ἀηδῆ (κόρη γάρ τις ἦν πρὸς ἡμᾶς τι συγγενὲς ἔχουσα) αἱ δὲ ἀπὸ τούτου κυνώδεις κεφαλαὶ καὶ θηριώδεις, οὐδενὸς ἦσαν ἀγαθοῦ, στόλους ὅλους γρ. ὅλον
ἁρπάζουσαι, καὶ μηδὲν εἰς κίνδυνον διαφέρουσαι τῆς ἀντιπέρας Χαρύβδεως. ἢ καὶ τῶν τοξοτῶν σὺ καὶ τῶν σφενδονητῶν τὰ βέλη καὶ τοὺς λίθους καταιτιάσῃ, ἀλλ' οὐ τοὺς σφενδονῶντας καὶ τοὺς τοξεύοντας; ἔτι δὲ τῶν κυνηγετῶν τοὺς κύνας, καὶ τῶν φαρμακέων τὰ δηλητήρια, καὶ τῶν ἐκκυλιόντων βοῶν, καὶ ἀναρρηττόντων τῶν θηρίων τὰ κέρατα καὶ τοὺς ὄνυχας; οἱ δὲ χρώμενοι τούτοις ἐκτὸς στήσονται, καὶ οὐ μεθέξουσι τῆς ὧν πολμῶσιν αἰτίας; πολλῆς ταῦτα τῆς ἀλογίας, καὶ ὄντως σοφιστοῦ δεόμενα, τοῖς ἑαυτοῦ συνηγοροῦντος κακοῖς, καὶ τῇ τοῦ λόγου δυνάμει τὸ ἀληθὲς συγκαλύπτοντος. ἀλλ' οὐκ ἔστιν ὅπως ἑαυτὸν "ἀποκρύψῃ, οὐδ' ἂν πολλὰ στραφῇ, καὶ παντοῖος γένηται ταῖς ἐπινοίαις, οὐδ' εἰ τὴν Ἄϊδος κυνέην (ὅ δὴ λέγεται) περιθέμενος, ἢ τῷ δακτυλίῳ Γύγου καὶ τῇ στροφῇ τῆς σφενδόνης χρησάμενος, ἑαυτὸν "ἀποκλέψῃ. τοὐναντίον μὲν οὖν, ὅσῳ φεύγειν ἐπιχειρεῖ καὶ διαδιδράσκειν, τοσούτῳ πλέον ἁλίσκεται παρὰ ἀλήθειᾳ δικαζούσῃ, καὶ τοῖς συνετωτέροις τούτων κριταῖς, ὡς ταῦτα πράττων τε καὶ πολεμῶν, οἷς οὐδ' ἂν αὐτὸς ὡς δικαίως πραττομένοις ἔχῃ συνηγορεῖν. οὕτως

Margin: γρ. τὰ δὲ τῶν κυνηγῶν (beside "ἔτι δὲ τῶν κυνηγετῶν"); γρ. ἀποκρύψει, (beside "ἀποκρύψῃ"); γρ. ἀποκλέψειε. (beside "ἀποκλέψῃ")

" νέον Θεὸν) Ἰουλιανὸν δηλονότι.

ἀνάλωτοι

ἀνάλωτόν ἐστιν ἡ πονηρία, καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα.

Καὶ οὐχ ἃ μὲν ἔπραξεν ἤδη τοιαῦτα, καὶ οὕτω πόῤῥω βασιλικῆς εὐγενείας καὶ μεγαλοπρεπείας, ἃ δὲ διενοεῖτο πράξειν, ἡμερώτερά τε καὶ βασιλικώτερα. πολλοῦ μὲν τ' ἂν ἄξιον ἦν, εἰ μὴ πολὺ τῶν εἰρημένων ἀπανθρωπότερα. ὥσπερ γὰρ δράκοντος κινουμένου, φολίδες αἱ μὲν ἤδη φρίσσουσι, αἱ δὲ ἐπιφρίσσουσιν, αἱ δὲ μέλλουσι, τὰς δὲ οὐκ ἔστι μὴ κινηθῆναι κἂν ἠρεμοῦσαι τέως τυγχάνωσιν· εἰ βούλει δὲ, ὥσπερ κεραυνοῦ τὰ μὲν ἤδη κατέχεται, τὰ δὲ περιμηχανᾶται, μέχρις ἂν καὶ ταῦτα ἐπέλθῃ τοῦ κακοῦ δυναστεύοντος· οὕτω κἀκείνῳ τὰ μὲν ἤδη παρηνομεῖτο, τὰ δὲ ὑπεγράφετο ταῖς ἐλπίσι καὶ ταῖς καθ' ἡμῶν ἀπειλαῖς· καὶ ταῦτα οὕτως ἔκτοπα καὶ πόῤῥω τῶν εἰθισμένων, ὡς τῆς ἐκείνου διανοίας εἶναι μόνης, ταῦτα καὶ βουλεύσασθαι καὶ εἰς ἔργον ἀγαγεῖν ἐθελῆσαι, καίτοι πολλῶν περὶ αὐτοῦ γεγυμνασμένων διωκτῶν καὶ πολεμίων Χριστιανοῖς. ἃ γὰρ μήτε Διοκλητιανὸς, ὁ [x] πρῶτος ἐνυβρίσας Χριστιανοῖς, μήτε ὁ τοῦτον ἐκδεξάμενος καὶ ὑπερβαλὼν Μαξιμιανὸς ἐνεθυμήθη πώποτε, μήτε Μαξιμῖνος ὁ μετ' ἐκείνους καὶ ὑπὲρ ἐκείνους διώκτης (οὗ τὰ σύμβολα τῆς ἐπὶ τούτῳ πληγῆς αἱ εἰκόνες φέρουσιν ἔτι δημοσίᾳ προκείμεναι, καὶ στηλιτεύουσαι τὴν λώβην τοῦ σώματος) ταῦτα ἐκεῖνος διενοεῖτο μὲν (ὡς οἱ τῶν ἀποῤῥήτων ἐκείνου κοινωνοὶ καὶ μάρτυρες) ἐπεσχέθη δὲ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ, καὶ τοῖς Χριστιανῶν δάκρυσιν, ἃ πολλὰ δὴ καὶ παρὰ πολλῶν ἐχύθη, τοῦτο μόνον ἐχόντων κατὰ τοῦ διώκτου φάρμακον. ταῦτα δὲ ἦν πάσης μὲν παῤῥησίας ἀποστερεῖσθαι Χριστιανοὺς, πάντων δὲ αὖθις εἴργεσθαι, συλλόγων, ἀγορῶν, πανηγύρεων, τῶν δι-

γρ. διαδεξάμενος

[x] πρῶτος ἐνυβρίσας] Πρῶτος οὐχὶ πάντων τῶν διωξάντων, ἀλλὰ πρῶτος τῶν ἐν ἐκείνῳ τῷ διωγμῷ, τουτέστι τῷ ἐσχάτῳ. οὐ γὰρ εἷς γέγονε διωγμὸς ἀδιάκοπος ἀπ' ἀρχῆς μέχρι τέλους, ἀλλὰ πολλοὶ κατὰ καιροὺς, ὧν ἕκαστος ὅρον ἔσχε τὴν κυρίου τὴν ἀντίληψιν.

δικαστηρίων αὐτῶν. μὴ γὰρ ἐξεῖναι [y] κεχρῆσθαι τούτοις, ὅστις μὴ κατὰ τῶν βωμῶν θυμιάσειεν ἔμπροσθεν κειμένων, καὶ μισθὸν δοίη μέγαν οὕτω καὶ τοσούτου πράγματος. ὦ νόμοι καὶ νομοθέται καὶ βασιλεῖς, ὧν, καθάπερ οὐρανοῦ κάλλος, καὶ ἡλίου φῶς, καὶ ἀέρος χύσις ἅπασι πρόκειται φιλανθρωπία [z] κοινή τε καὶ ἄφθονος, οὕτω δὲ καὶ τὴν τῶν νόμων μετουσίαν προθέντες ἅπασιν ἐλευθέροις ἴσην τε καὶ ὁμότιμον· ἧς ἐκεῖνος ἀποξηρήσειν διενοεῖτο Χριστιανούς, ὡς μήτε τυραννουμένοις δίκας ἐξεῖναι λαβεῖν, μήτε ζημιουμένοις εἰς χρήματα, μήτε ἄλλο τι πάσχουσι μικρὸν ἢ μεῖζον τῶν ἀπηγορευμένων τοῖς νόμοις, ἀλλ' ἐξορίστους εἶναι καὶ ἀναιρεῖσθαι, καὶ μικροῦ τῶν ἀναπνοῶν εἴργεσθαι. ἃ τοῖς μὲν πάσχουσι πλείω φιλοτιμίαν εἶχε καὶ τὴν πρὸς Θεὸν παῤῥησίαν, τοῖς δρῶσι δὲ μείζω τὴν παρανομίαν καὶ ἀδοξίαν. καὶ ὁ λέγεις ὡς πάνσοφος τοῦ [a] φονευτοῦ καὶ προστάτου, καὶ παρανόμου καὶ νομοθέτου, ἤ, ἵν' οἰκειότερον εἴπω, τοῦ ἐχθροῦ καὶ ἐκδικητοῦ κατὰ τὸν ἡμέτερον λόγον; εἶναι γὰρ τοῦ ἡμετέρου [b] νόμου, μήτε ἀμύνεσθαι, μήτε δικάζεσθαι, μήτε κεκτῆσθαί τι τὴν ἀρχήν, μήτε νομίζειν ἴδιόν τι· ἀλλὰ ζῆν ἑτέρωθι, καὶ τῶν παρόντων καταφρονεῖν ὡς οὐκ ὄντων· κακοῦ δὲ μὴ ἀντιδιδόναι μηδενὶ ἐξεῖναι κακόν, μήτε

[Right margin: γρ. ἀποστερεῖν — γρ. πάνυ σοφὸς — γρ. ἀποστάτου — γρ. μηδὲ]

[Left margin: Ματθ. ι. θ. — Μαρ. ϛ. η. — Λουκ. ϛ. κζ. — Ματθ. ε. λθ.]

---

[y] κεχρῆσθαι] Μισθὸν ἀπῄτει τοὺς Χριστιανοὺς τοῦ χρήσασθαι τοῖς δικαστηρίοις, τὸ θυμιᾶσαι ἐπὶ τῶν βωμῶν τῶν ἔμπροσθεν τῶν δικαστηρίων, τοσούτου μικροῦ καὶ εὐτελοῦς πράγματος. [z] κοινή] Ὡς εἰ ἔλεγεν, ὁρᾶτε οἵαν ὠμότητα καὶ ἀπανθρωπίαν καθ' ἡμῶν διενοεῖτο ὁ παμμίαρος. [a] φονευτοῦ] Φονευτοῦ καὶ παρανόμου κατ' ἀλήθειαν, προστάτου καὶ νομοθέτου κατὰ τοὺς τὰ ἐκείνου σέβοντας. [b] νόμου,] Πάνυ μὲν οὖν ταῦτα πάντα τοῦ τῶν Χριστιανῶν νόμου, καὶ οὐκ ἀρνούμεθα κἂν σὺ πλέον μανῇς, καὶ μεῖζον μετὰ τῶν σῶν δαιμόνων ὑλακτῇς. ἀλλ' οὐ πάντων, ὦ τρισάθλιε σύ, τὸ πρὸς ἄκρον τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ἀναβαίνειν, οὐδὲ τὴν πρὸς βίαν ταῦτα καὶ τυραννίδα (ἦ γὰρ ἂν οὐκ οὔπω καλόν) ἀλλὰ τῆς ἐπ' ἐξουσίας καὶ γνώμης τῆς ἡμετέρας· εἶτα σὺ ταῦτα καταναγκάζεις ποιεῖν, τίς ὢν καὶ πόθεν, καὶ τίνος τοῦ παραδείγματος τῶν πρὸ σοῦ βασιλέων; εἷς ἡμῶν βασιλεύς, ὦ τύραννε σὺ καὶ τῆς κατ' οὐρανὸν βασιλείας ἐχθρέ, ὃς τούτων ἡμᾶς ἀπαιτήσει τοὺς λόγους καὶ τὰς εὐθύνας, εἴτε κολάσων εἰς πέρας χρηστόν τε ὁμοῦ καὶ σωτήριον, εἴτε καὶ ἄλλως ἡμᾶς ἐλεήσων πρὸς ἄκραν ἐλάσει φιλοσοφίαν, ἢ μὴ δυνηθέντας, ἢ τό γε ἀληθέστερον εἰπεῖν, οὐ πάνυ φροντίσαντας, ἀλλ' ἡττηθέντας πηλοῦ καὶ κόσμου καὶ τῆς ἐν τούτοις συγχύσεως. ταῦτα μὲν ζητήσει παρ' ἡμῶν ἐκεῖνος ἐν δέοντι, σοὶ δὲ τί προσήκει καὶ διαφέρει, ὦ ἀσεβέστατε τύραννε;

τὴν

γρ. φείδεσθαι ταύτης, ἀλλὰ καὶ τὴν ἑτέραν

γρ. δὲ

τὴν παρειὰν παιομένους φείδεσθαι τῆς ἑτέρας, ἀλλὰ καὶ ταύτην ἐμπαρέχειν τῷ παίοντι, καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαποδύεσθαι. προσθήσει δὲ ἴσως, ὅτι καὶ ὑπερεύχεσθαι τῶν ἀδικούντων, καὶ τὰ κάλλιστα βούλεσθαι τοῖς διώκουσι. τί δαὶ οὐκ ἔμελλε ταῦτα γινώσκειν ἀκριβῶς, ὁ τῶν θείων ὑπαναγνώστης ποτὲ λογίων, καὶ τῆς τοῦ μεγάλου βήματος ἠξιωμένος τιμῆς, καὶ τοὺς μάρτυρας τιμῶν [c] σηκοῖς καὶ τεμένεσιν; οὐ τοῦτο πρότερον [d] θαυμάζω, πῶς τούτοις μὲν ἀκριβῶς καθωμίλησεν, ἐκεῖνο δὲ οὐκ ἀνέγνω, ἢ ἑκὼν παρέδραμεν, ὅτι κακὸς κακῶς ἀπολεῖται πᾶς ὁ τὸ θεῖον ἐξαρνησάμενος, καί, ὃ τούτου μεῖζόν ἐστι, τοὺς ἐμμένοντας τῇ ὁμολογίᾳ [e] περιωθῶν καὶ τοιούτοις κακοῖς περιβάλλων, οἷς αὐτὸς περιπεσεῖν ἦν ἄξιος.

Εἰ μὲν οὖν, ὥσπερ ἡμᾶς τοιούτους εἶναι νομοθετεῖ· καὶ τοῖς ὡρισμένοις ἐμμένειν, οὕτω δύναται δεῖξαι καὶ αὐτῷ τὸ κάκιστον εἶναι προστεταγμένον, ἢ τοῖς αὐτοῦ θεοῖς ἐν καλῷ τοῦτο τυγχάνον, καὶ, εἰς δύο ταῦτα διῃρημένων τῶν [f] ἕξεων ἀρετήν τέ φημι καὶ κακίαν, ἡμῖν μὲν [g] ἀποκεκρίσθαι τὴν κρείττω μοῖραν, αὐτοῖς δὲ ἀπερρίφθαι τὴν χείρονα· λεγέτω τοῦτο, καὶ οὕτω [h] νικήσομεν ὑπὸ μάρτυσι τοῖς ἐχθροῖς

---

[c] σηκοῖς] Ὁ μὲν σηκὸς καὶ τὸ τέμενος σημαίνει τὸ ἱερὸν ὅλον· ὁ δὲ ναὸς σημαίνει τὸ θυσιαστήριον, ἐν ᾧ ἡμῖν μὲν ἡ θεία τῶν μυστηρίων πρόκειται τράπεζα, Ἕλλησι δὲ τὸ βδελυρὸν ἐν τούτῳ εἴδωλον εἱστήκει. ἐντεῦθεν καὶ τὸ κρέας τῷ μίλτῳ χριόμενον, καὶ ἑψόμενον ἐν Ἀλεξανδρείᾳ, ἀπὸ σηκοῦ ἐκαλεῖτο, οἱονεὶ ἀπὸ τοῦ ἱεροῦ. ἐκεῖσε γὰρ ἐν τῷ ἱερῷ γινόμενον πρῶτον ἐπράθη. Πτολεμαῖος γὰρ ὁ φιλάδελφος, εἷς τῶν ιϛ Πτολεμαίων, τοῦτο τὸ κρέας ἐπιτηδεύει διὰ δύο αἰτίας, ἢ, ὅπερ ἀληθές, ὅτι ὁ Ἀλεξανδρεῖος ἄρτος ἀνήδυτος ὤν, ποιεῖ τὴν κεκλημένην ἔλμινθον, ταύτας δὲ οὐδὲν οὕτως ἀναιρεῖ ὡς ἡ ἐκ Σινώπης μίλτος (ἣν καὶ Σινωπίδιον καλοῦσιν ἐκ τῆς πόλεως) ἢ ὅτι οἱ ἀστρολόγοι ἔλεγον Πτολεμαίῳ, ὡς ἐθέλοντα τὸν Ἄρην ἀπὸ τοῦ θέματος τῆς πόλεως ταύτα φοινίσσεσθαι διαπαντός. ἡ μίλτος οὖν, φασί, μετὰ τοῦ κρέως προστιθεμένη τὴν ἡδονὴν ἀποπληρώσει τῷ Ἄρει. [d] θαυμάζω] Ἀντὶ τοῦ καταγινώσκω.

[e] περιωθῶν] Σημειωτέον ὅτι τὸ περιωθεῖν καὶ διώκειν τοὺς ἐμμένοντας, τοῦ ἀρνήσασθαι μεῖζόν ἐστιν. [f] ἕξεων] Τῶν ἕξεων τῆς λογικῆς οὐσίας. σημείωσαι δὲ ὅτι ἡ ἕξις καὶ ἐπὶ κακίας λέγεται. τινὲς γὰρ ἐπὶ τῆς ἀρετῆς μόνης ἠξίουν λέγεσθαι, ἐπὶ δὲ κακίας τὴν στέρησιν. [g] ἀποκεκρίσθαι] χωρὶς ἀποδεδόσθαι. [h] νικήσομεν] Ὡς ἡμεῖς μὲν τὴν κρείσσονα, ἐκεῖνοι δὲ τὴν χείρονα μοῖραν ἔχοντες, ὅπερ οὐ δώσουσιν οἱ Ἕλληνες.

καὶ τοῖς διώκουσι τὰ ἡμέτερα. εἰ δὲ καὶ αὐτοί τι μεταποιοῦνται καλοκαγαθίας καὶ ἡμερότητος (λόγῳ γοῦν, εἰ καὶ μὴ τοῖς ἔργοις αὐτοῖς) καὶ οὐχ οὕτως εἰσὶν ἀναίσχυντοι (κἂν σφόδρα ὦσι κακοὶ καὶ πονηροῖς θεοῖς χαίροντες) ὥστε φάσκειν, ὥσπερ ἄλλον τινὰ κλῆρον, προσήκειν αὐτοῖς τὴν κακίαν, δειξάτωσαν πῶς ἢ ποῦ δίκαιον, ἡμᾶς μὲν καὶ πάσχοντας καρτερεῖν, αὐτοὺς δὲ μηδὲ [i] φειδομένων φείδεσθαι. "σκόπει γὰρ οὕτω· τῶν μὲν ἡμῖν γεγονότων καιρῶν τοῦ δύνασθαι, γ. σκοπεῖτε
τῶν δὲ ὑμῖν (ἄλλοτε ἄλλως τούτων περιτρεχόντων τε καὶ μεθισταμένων) τί τοιοῦτο παρὰ Χριστιανῶν" πώποτε συνέβη τοῖς ὑμετέροις, γ. ποτε
οἷα παρ' ὑμῶν πολλάκις Χριστιανοῖς; ποίας [k] παρρησίας ὑμᾶς ἀπεστερήσαμεν; τίσι δήμους ἐπανεστήσαμεν ζέοντας; τίσιν ἄρχοντας πλείω τῶν ἐπιταττομένων ὑπηρετοῦντας; τίσι τὸν περὶ ψυχῆς ἐπηγάγομεν κίνδυνον; μᾶλλον δὲ τίνας ἀρχῶν ἀπηλάσαμεν καὶ τῶν ἄλλων τιμῶν, αἳ τοῖς ἀρίστοις ὀφείλονται; καὶ συνελόντα φάναι, τίνι τι τοιοῦτον ἐπενηνόχαμεν, οἷα πολλὰ παρ' ὑμῶν, τὰ μὲν ἐτολμήθη, τὰ δὲ ἠπειλήθη; ἀλλ' οὐδ' ἂν αὐτοὶ φαίητε, οἱ τὸ ἥμερον ἡμῶν [l] ἐγκαλοῦντες καὶ τὸ φιλάνθρωπον. ἔπειτα πῶς ἐκεῖνο οὐ λογίζῃ, ὦ σοφώτατε πάντων καὶ συνετώτατε, ὁ πρὸς τὸ τῆς ἀρετῆς ἄκρον συγκλείων Χριστιανούς, ὅτι τῆς ἡμετέρας νομοθεσίας τὰ μὲν ἀνάγκην ἔχει τοῖς [m] ἐπιταττομένοις, ἃ καὶ μὴ φυλάττουσι [n] κίνδυνος; τὰ δὲ οὐκ ἀνάγκην, αἵρεσιν δέ, ἃ φυλάττουσι μὲν τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάττουσι δὲ οὐδ' ὁντινοῦν κίνδυνον; εἰ μὲν γὰρ

[i] φειδομένων] τῶν χριστιανῶν. ἡμεῖς γὰρ ἐν τοῖς τῆς ἡμετέρας ἰσχύος καιροῖς, Ἑλλήνων καὶ παντὸς ἔθνους ἄλλου ἐφειδόμεθα. [k] παρρησίας] Καὶ ἀναγινώσκουσιν οἱ Ἕλληνες, καὶ δικάζονται, καὶ τὰ ἄλλα πράττουσιν ὅσα πολῖται, μηδενὸς χριστιανῶν κωλύοντος, πλὴν εἰ κωλύοιντο φανερῶς καὶ δημοσίᾳ δυσσεβεῖν. οὐ γὰρ θέμις εὐσεβείας πανταχοῦ κρατούσης παρρησιάζεσθαι τὴν ἀσέβειαν. [l] ἐγκαλοῦντες] Καλῶς πάνυ. οὕτω γὰρ κακῶς τοὺς χριστιανοὺς ἐποίουν ἰσχύοντες, ὥστε ἐγκαλεῖν αὐτοῖς καὶ τὴν ἐν τῷ πράττειν καλῶς τὴν εἰς τοὺς Ἕλληνας φιλανθρωπίαν καὶ ἡμερότητα. [m] ἐπιταττομένοις] Ἡμῖν χριστιανοῖς δηλονότι. [n] κίνδυνος] Ἐπιστήσεις ἐνταῦθα, πῶς ὁ πρὸς τὸ τῆς ἀπογνώσεως βάραθρον ἐξωθούμενος, ὡς χριστιανοὶ μὲν ἅπαντες, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν. εἰ δέ τις εἰς τὸ ἄκρον τῆς ἀρετῆς ἀφικέσθαι οὐ δύναται, ἀλλὰ μέσην τινὰ βαδίζει, τῶν τοιούτων κίνδυνος μὲν οὐδείς, ἥττων δὲ ἡ τιμὴ καὶ ἡ τῆς μεσότητος ἀμοιβή.

οἷς τ' ἦν ἀπολαύσας ἀρίστοις εἶναι καὶ τοῦ ἄκρου τῆς ἀρετῆς ἐπιβαίνειν, τοῦτ' αὐτὸ ἦν κράτιστόν τε καὶ τελεώτατον· ἐπεὶ δὲ χωρὶς τὰ θεῖα τῶν ἀνθρωπίνων, καὶ τοῖς μὲν οὐκ ἔστιν ὅτου μὴ τῶν καλῶν μέτεστι, τοῖς δὲ μέγα, καὶ εἰ τοῦ μέσου τυγχάνοιεν, τί σοι βούλεται τὸ ταῦτα νομοθετεῖν, ἃ μὴ τῶν πάντων ἐστὶν, ἢ κατακρίτους εἶναι τοὺς οὐ φυλάσσοντας; ὥσπερ γὰρ οὐχ ὅστις οὐ κολάσεως ἄξιος, ἤδη καὶ ἀναρρήσεως, οὕτως οὐχ ὅστις οὐκ ἀναρρήσεως, ἤδη καὶ τιμωρίας· ἀλλ' ἐν ὅροις δεῖ μένοντας τῆς ἡμετέρας φιλοσοφίας καὶ τῆς ἀνθρωπίνης δυνάμεως, οὕτως ἀπαιτεῖν καὶ τὸ κατορθούμενον.

Ἀλλ' ἀνακλητέον μοι πάλιν τὸν λόγον ἐπὶ τοὺς λόγους (οὐ γὰρ φέρω μὴ τοῦτο πολλάκις ἀνακυκλεῖν) καὶ πειρατέον συνηγορῆσαι τούτοις εἰς δύναμιν. πολλῶν γὰρ καὶ δεινῶν ὄντων ἐφ' οἷς ἐκεῖνος μισεῖσθαι δίκαιος, οὐκ ἔστιν ὅ,τι μᾶλλον ἢ τοῦτο παρανομήσας φαίνεται. καί μοι συναγανακτείτω πᾶς ὅστις λόγοις χαίρων, καὶ τῇ μοίρᾳ ταύτῃ [o] προσκείμενος, ὧν εἶναι καὶ αὐτὸς οὐκ ἀρνήσομαι. τὰ μὲν γὰρ ἄλλα παρῆκα τοῖς βουλομένοις, πλοῦτον, εὐγένειαν, εὔκλειαν, δυναστείαν, ἃ τῆς κάτω περιφορᾶς ἐστι καὶ ὀνειρώδους τέρψεως· τοῦ λόγου δὲ περιέχομαι μόνου, καὶ οὐ μέμφομαι χερσαίοις τε πόνοις καὶ θαλασσίοις, οἳ τούτους μοι συνεπόρισαν. ἐμοὶ γένοιτο εἶναι, καὶ ὅστις ἐμοὶ φίλος, τὸ τῶν λόγων κράτος, ὃ πρῶτον μετὰ τὸ πρῶτον ἠσπασάμην τε καὶ ἀσπάζομαι, [p] τὰ θεῖα λέγω καὶ τὰς ἔξω τῶν ὁρωμένων ἐλπίδας. ὥστε, εἰ τὸ οἰκεῖον πιέζει πάντας κατὰ [q] Πίνδαρον, ἀναγκαῖος ὁ περὶ τούτων ἔμοιγε λόγος· καὶ μάλιστα δίκαιον, ὡς οὐκ οἶδ' εἴ τι τῶν ἄλλων, λόγῳ τὴν ὑπὲρ λόγων χάριν ἀποδιδόναι τοῖς λόγοις. πόθεν οὖν ἐπῆλθέ σοι τοῦτο (ὦ κουφότατε πάντων καὶ ἀπληστότα-

---

[o] προσκείμενος] Προσυπακουστέον τὸ τυγχάνει. [p] Τὰ θεῖα λέγω] Ἀντὶ τοῦ, τοὺς λόγους λέγω τοὺς εἰς τὰ θεῖα κηρύγματά τε καὶ δόγματα, καὶ τὰς ἐντεῦθεν ἐλπίδας. [q] Πίνδαρον] Πίνδαρος εἷς ἐστι τῶν περὶ λύραν λεγόντων. οὗτος οὖν ὁ λυρικὸς τέσσαρας γράφει νίκας, αἳ καὶ περιάπτονται. ἐν τῇ μιᾷ τοίνυν τῶν νικῶν ἐκεῖνό φησιν, ὅτι τὸ οἰκεῖον ἕκαστον πιέζει κακόν· ὅ ἐστι, πάντα ἄνθρωπον τὸ ἴδιον ἀνιᾷ κακόν.

τε) τὸ λέγειν ἀποστερῆσαι Χριστιανούς; τῶν γάρ, οὐ τῶν ἠπειλημένων, ἀλλὰ τῶν ἤδη νενομοθετημένων. πόθεν, καὶ τίνος αἰτίας; τίς Ἑρμῆς σοι λόγιος, ὡς ἂν αὐτὸς εἴποις, τοῦτ' ἐπὶ νοῦν ἤγαγε; τίνες [r] Τελχῖνες πονηροί, καὶ βάσκανοι δαίμονες; εἰ βούλει δὲ καὶ τούτου τὴν αἰτίαν ἡμεῖς παραστήσομεν. ἔδει γάρ σε πολλοῖς ἐγχειροῦντα καὶ παραλόγοις κακοῖς, εἰς τοῦτο καταλῆξαι τελευτῶντα, καὶ σαυτῷ προδήλως περιπεσεῖν· ἵν' ᾧ μάλιστα φρονεῖν ᾤου δεῖν, τούτῳ μάλιστα λάθῃς ἀσχημονῶν καὶ ἀλογίαν κατακρινόμενος. ἀπόκριναι γάρ· τί σοι τὸ δόγμα βούλεται; καὶ τίς ὁ λόγος τῆς περὶ λόγους καινοτομίας; [s] κἂν τι δίκαιον δόξῃς λέγειν, ἀνιασόμεθα μέν, οὐ μεμψόμεθα δέ. καὶ γὰρ ὥσπερ τῷ λόγῳ νικᾶν, οὕτω καὶ νικᾶσθαι καλῶς μεμαθήκαμεν. ἡμέτεροι, φησιν, οἱ λόγοι [t] καὶ τὸ Ἑλληνίζειν, ὧν καὶ τὸ σέβειν θεούς, ὑμῶν δὲ ἡ ἀλογία, καὶ ἡ ἀγροικία, καὶ οὐδὲν ὑπὲρ τό, Πίστευσον, τῆς ὑμετέρας ἐστὶ σοφίας. οὐκ ἂν μὲν οἶμαι τοῦτο καταγελάσαιεν οἱ παρ' ὑμῖν τὰ Πυθαγόρου φιλοσοφοῦντες, οἷς τό, αὐτὸς ἔφα, τὸ πρῶτον καὶ μέγιστόν ἐστι τῶν δογμάτων, καὶ τῶν χρυσῶν ἐπῶν, εἴτ' οὖν μολιβδῶν, αἱρετώτερον; μετὰ γὰρ τὴν πρώτην καὶ πολυύμνητον τοῖς τὰ ἐκείνου τελουμένοις φιλοσο-

γρ. ἀπειλουμένων

γρ. δή

γρ. σέβεσθαι

---

[r] Τελχῖνες] Παρ' Ἕλλησιν φθονεροί τινες δαίμονες. [s] κἂν τι δίκαιον δόξῃς] Οὐκ εἶπε, κἂν τι δίκαιον εἴπῃς, ἀλλὰ δόξῃς λέγειν· σοὶ δὲ δοκεῖν τὸ δίκαιόν τι λέγειν. δόξομεν καὶ ἡμεῖς ἡττᾶσθαι, καὶ διὰ τὴν δόξαν ἀνιασόμεθα μέν, οὐ μεμψόμεθα δέ. [t] καὶ τὸ Ἑλληνίζειν] Θουκυδίδης ὁ Ἀθηναῖος συγγραφεὺς μάρτυς ἡμῖν, ὡς οὐ τῆς θρησκείας ἀλλ' Ἕλληνος, καὶ τῶν ἐκείνου παίδων ἡ Ἑλληνίζουσα διάλεκτος. οὕτω γάρ φησιν ἐν τῷ προοιμίῳ τῆς ἑαυτοῦ συγγραφῆς. δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπιπλεῖστον, ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι. Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείας εἰς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας, οὐ μέντοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος. πολλῷ γὰρ ὕστερος ἔτι καὶ τῶν Τρωικῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι, καὶ Ἀργείους, καὶ Ἀχαιοὺς ἀνακαλεῖ. οὐδὲ μήν, οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω (ὡς ἐμοὶ δοκεῖ) ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι.

φίαν

φίλην τῆς σιωπῆς (ἵνα λόγου μέτρα τὴν σιωπὴν ἀσκηθῶσιν) ἔννομόν, φησιν, ἦν ὀπίσω τῶν δογμάτων ἐρωτωμένοις, ἔπειτ᾽ ἀποφαινομένοις, ἀπαιτουμένου καὶ λόγου, ἄλλο μὲν μηδὲν ἀποκρίνεσθαι, ὅτι δὲ Πυθαγόρᾳ τοῦτ᾽ εἴη δεδογμένον· καὶ λόγον εἶναι τοῦ δόγματος τὸ παρασαὶ ἐκείνῳ ἀνεύθυνόν τε καὶ ἀβασάνιστον, εἰς ταὐτὸν ἥκοντες τούτῳ, αὐτὸς ἔφα, τοῖς παρ᾽ ἡμῖν, Πίστευσον, ἐν ἄλλαις συλλαβαῖς τε καὶ ῥήμασι, κἂν εἰ μὴ παύοισθε κωμῳδοῦντες τοῦτο καὶ διασύροντες. βούλεται γὰρ ἡμῖν ὁ λόγος, μὴ ἐξεῖναι ἀπιστεῖν τοῖς ὑπὸ τῶν θεοφόρων ἀνδρῶν εἰρημένοις, ἀλλ᾽ ἀπόδειξιν εἶναι τοῦ λόγου τὸ ἐκείνων ἀξιόπιστον, πάσης δυνάμεως λογικῆς καὶ ἀντιλογικῆς ἰσχυρότερον. ἔστω δὲ καὶ τοῦτο τῶν ἡμετέρων εὐεπηρέαστον· πῶς δὲ σὺ δείξεις τοὺς λόγους σοὶ διαφέροντας; εἰ δὲ καὶ σούς, πῶς τούτων ἡμῖν οὐ μετὸν κατὰ τὴν σὴν νομοθεσίαν καὶ ἀλογίαν; τίνος γὰρ τοῦ Ἑλληνίζειν εἰσὶν [illegible] λόγοι; καὶ τοῦ πῶς λεγομένου καὶ νοουμένου; ἵν᾽ ἐγώ σοι διέλω τὴν τοῦ ὀνόματος δύναμιν, ὦ περὶ τὰς ὁμωνυμίας ἔχων σύ, καὶ [u] τὰ δηλούμενα ἢ μιᾷ προσηγορείᾳ διάφορα, ἢ διαφόροις ταὐτά, ἢ ἑτέροις ἕτερα. ἢ γὰρ τῆς θρησκείας εἶναι τοῦτο φήσεις, ἢ τοῦ ἔθνους δηλαδή, καὶ τῶν πρώτων εὑραμένων τῆς διαλέκτου τὴν δύναμιν. εἰ μὲν οὖν τῆς θρησκείας, δεῖξον ποῦ, καὶ παρὰ τίσι τῶν ἱερέων τὸ Ἑλληνίζειν ἔννομον, ὥσπερ καὶ τὸ θύειν ἐστὶν, ἃ, καὶ οἷς τῶν δαιμόνων. οὔτε γὰρ πᾶσι τὰ αὐτά, οὔτε ἑνὶ τὰ πάντα, οὔτε τὸν αὐτὸν τρόπον, ὡς τοῖς παρ᾽ ὑμῖν [x] Ἱεροφάνταις δοκεῖ καὶ τοῖς τῶν θυσιῶν τεχνολόγοις. ποῦ δὲ, ὥσπερ Λινδίοις εὐσεβές ἐστι καταρᾶσθαι τὸν Βουποίνα, καὶ τοῦτο εἶναι Θεοῦ τιμὴν τὰς εἰς αὐτὸν λοιδορίας, ἢ Ταύροις τὸ ξενοκτονεῖν, ἢ Λάκωσι τὸ ἐπιβώμια ξαίνεσθαι, ἢ Φρυξὶ τὸ κα-

χ. εὑρομένων
ἀλλ. εὑρισκομένων

χ. ταῦτα

[u] καὶ τὰ δηλούμενα] Τῶν δηλουμένων, τὰ μὲν μιᾷ προσηγορείᾳ καὶ τῇ αὐτῇ λέξει διάφορά ἐστι τῶν σημαινομένων, οἷον ἡ κυρίου φωνή, καὶ τὸ στοιχεῖον. τῇ μὲν γὰρ σημαίνει τὰ γράμματα, τῇ δὲ τὰ στοιχεῖα, ἤτοι τὰς ποιότητας ἐξ ὧν τὰ σώματα, τὰ δὲ διαφόροις ὀνόμασι ταὐτά ἐστιν, οἷον, Κρεῖττον, ἄμεινον, βέλτιον, κάλλιον καὶ ἑστίασις καὶ εὐωχία. [x] Ἱεροφάνταις.] Παρὰ τὸ τὰ ἱερὰ ἐκφαίνειν. εἰσὶ γὰρ οἱ Ἱερουργοί.

ταπέμνεσθαι

τατέμνεσθ' ὑπ' αὐλῶν ''κηλουμένους καὶ ''ἐνδινουμένους ὑφ' ἅλ- γρ. -νοις
ματος, ἢ τὸ [y] παιδεραστεῖν ἄλλοις, [a] ἢ τὸ πορνεύειν ἑτέροις, ἢ ὅσα τῶν γρ. -νοις
ἄλλων μυστηρίων ἐστὶν (ἵνα μὴ λέγω καθ' ἕκαστον) οὕτω δὲ καὶ τὸ Ἑλ-
ληνίζειν [b] ἔκκριτόν τινος θεῶν ἢ δαιμόνων; καίτοι κἂν εἰ τοῦτ' ἦν,
οὔπω δῆλον ὡς Ἑλληνικὸν ἦν, ἢ τινι τῶν παρ' ὑμῖν θεῶν ἢ δαιμόνων
τὸ κοινὸν ἀπεκρίθη, ὥσπερ καὶ ἄλλα πολλὰ [c] τῶν κοινῶν θύειν νενομο-
θέτηται. Εἰ δ' οὐχὶ τοῦτο φήσεις, τῆς γλώσσης δὲ ὡς ὑμετέρας
μεταποιήσῃ, καὶ διὰ τοῦτο πόρρω θήσεις ἡμᾶς, ὥσπερ κλήρου πα-
τρικοῦ καὶ οὐδὲν ἡμῖν διαφέροντος, πρῶτον μὲν, οὐχ ὁρῶ τίς ὁ λό-
γος, ἢ πῶς τοῦτο προσάξεις τοῖς δαίμοσιν. οὐ γὰρ εἰ τοὺς αὐ-
τοὺς τήν τε γλῶσσαν Ἑλληνίζοντας καὶ τὴν θρησκείαν εἶναι συμ-
βέβηκεν, ἤδη καὶ τῆς θρησκείας ὁ λόγος, καὶ διὰ τοῦτ' ἂν εἰκότως ἔ-
ξω ταύτης ἡμεῖς γραφείημεν· ἀλλὰ τοῦτό γε καὶ ἀσυλλόγιστον δοκεῖ
τοῖς καθ' ὑμᾶς τεχνολόγοις. οὐ γὰρ εἰ [d] περὶ ταὐτὸν ἄμφω, καὶ ἀλ-
λήλοις ἄμφω ταὐτά· ἢ οὕτω γε εἰ χρυσοχόον τὸν αὐτὸν καὶ ζω-
γράφον θείημεν, τὸ χρυσοχοεῖν εἰς τὸ ζωγραφεῖν, ἢ τὸ ζωγρα-
φεῖν εἰς τὸ χρυσοχοεῖν περιστήσεται. πολλῶν ταῦτα τῶν ληρημά-
των. ἔπειτα ἐρήσομαί σε, ὦ φιλέλλην σὺ καὶ φιλόλογε, πότε-
ρον πάντος εἴρξεις ἡμᾶς τοῦ Ἑλληνίζειν, ἢ δὴ καὶ τῶν ἐν μέ-
σῳ, καὶ πεζῶν τύπων ῥημάτων καὶ τῆς τῶν πολλῶν χρήσεως,
ἢ τοῦ κομψοῦ τε καὶ ὑπεραίροντος, ''ὃς οὐκ ἄλλοις ἐφικτὸς, ἴσ. ὡς οὐκ ἄλ-
ἢ τοῖς κατὰ σὲ παιδεύουσιν διαφέρουσιν; εἰ μὲν γὰρ [e] τούτου, ὡς ἡ λοις ἐφικτῷ,

---

[y] παιδεραστεῖν] Τὸ παιδεραστεῖν εἴτ' αἰσχρῶς, εἴτε σωφρόνως, πᾶσι μὲν Ἕλλησι, μάλιστα δὲ τοῖς Ἀθηναίοις ἔννομον ἦν· καὶ Πέρσαι δὲ, καθ' Ἡρόδοτον, τοῖς παισὶν ἐμίγνυντο, παρ' Ἑλλήνων τοῦτο μαθόντες. [a] ἢ τὸ πορνεύειν] Τὸ πορνεύειν τοὺς ἄνδρας, καὶ πορνεύεσθαι τὰς γυναῖκας μάλιστα παρὰ Κορινθίοις ἔθος ἦν, παρ' οἷς καὶ γεγόνασιν αἱ περιβόητοι πόρναι ἐκεῖναι, ὧν καὶ ἡ Λαῒς καὶ ἡ Κύννα καὶ ἡ Σημαβακχώ. ἡ γὰρ Φρύνη Ἀθηναῖς ἦν. [b] Ἔκκριτον.] Ἀντὶ τοῦ ἐξαίρετον καὶ γνωριμώτατον.
[c] τῶν κοινῶν.] Οἷον πρόβατον, βοῦν. [d] περὶ ταὐτὸν ἄμφω.] Περὶ τὸ Ἑλληνίζειν ἥ τε γλῶσσα, καὶ ἡ θρησκεία. εἰ δὲ καὶ τὸ Ἑλληνίζειν ταὐτὸν, τὸ Ἑλληνίζειν κατὰ τὴν φωνὴν, τότε Ἑλληνίζειν κατὰ τὴν θρησκείαν ἀλλήλων καὶ ἄμφω πολλῷ διέστηκεν. [e] τούτου] Τοῦ κομψοῦ.

ἀποκλήρωσις,

[f] ἀποκλήρωσις, τὸ μὲν σμερδαλέον, καὶ τὸ κοναβίζειν, καὶ τὸ μῦθον, καὶ τὸ δήπουθεν, καὶ τὸ ἄττα, καὶ τὸ ἀμφοτέρως, εἴπερ τῆς διαλέκτου μόνης, τἄλλα δὲ ἀπερρίφθαι εἰς Κυνόσαργες, ὥσπερ τοὺς πάλαι τοὺς νόθους; Εἰ δὲ καὶ τὸ εὐτελὲς τοῦ λόγου καὶ ἀκαλλώπιστον ὁμοίως τοῦ Ἑλληνίζειν ἐστὶ, τί μὴ καὶ τούτων ἀποτρέπει ἡμᾶς, καὶ ἁπλῶς πάσης [g] Ἑλλάδος φωνῆς ὁποία ποτ' ἂν ᾖ καὶ ὡς ἂν ἔχουσα τύχῃ; τοῦτ' ἂν ἦν ὑμῶν φιλανθρωπότερον, καὶ τελείως τῆς ἀμουσίας τῆς ὑμετέρας. ἔχει γὰρ οὕτως, ἵνα σοι φιλοσοφήσω περὶ τούτων ὑψηλότερόν τε καὶ τελειότερον. Εἰ μὲν [καὶ] ἴδιαί τινές εἰσι φωναὶ φωνητικοῖς ὀργάνοις ἐκπορεύονται καὶ διὰ τοῦ ἀέρος χεόμεναι καὶ ἀκοαῖς εἰσρέουσαι, τῶν ἡμετέρων κρείττους καὶ εὐσημότεραι (γελῶ γὰρ ὑμῶν τὴν σεμνὸν τὸ Μάλου, καὶ τὸ Ξάνθον, καὶ τὴν Χαλκίδα) ἢ διὰ γυμνῶν ἀλλήλοις συγγίνονται τῶν ἐννοιῶν καὶ τῶν τυπωμάτων, οὐχ ἡμέτερον λέγειν· τὸ δὲ οἶμαι ἡμέτερον τοιοῦτόν ἐστιν. οὔτε φωνὴ τῶν εὐμαθῶν μόνων ἐστὶν, ἀλλὰ πάντων τῶν μετεχόντων· [h] οὔτε τέχνη τις ἢ ἐπιτήδευσις ἣν ἂν ἐνθυμηθῆναι θελήσῃς, ἀλλ', ὥσπερ ἐν ἁρμονίᾳ τεχνικῇ τε καὶ μουσικῇ, ἄλλος μὲν ἦχος ἄλλης τινὸς τῶν νευρῶν συντεταμένος ἢ ἀνειμένος, πάντα δὲ τοῦ ἑνὸς ἁρμοστοῦ καὶ τεχνίτου, πρὸς ἓν τὸ κάλλος ἁρμονίας συντείνοντα· οὕτω κἀν τούτοις ὁ τεχ-

γρ. τύχοι,
γρ. τελείωσις
γρ. ἐκπορευόμεναι
γρ. οἱ
γρ. δυσμαθῶν μόνον

[f] ἀποκλήρωσις] Ἀντὶ τοῦ, τίς ἡ οἰκειότης καὶ σχέσις τοῦ πράγματος. εἴρηται δὲ ἀπὸ τοῦ κλήρου ἢ τῆς κληρονομίας, ἢ τοῦ μέρους τῆς γῆς. ἐν ἀμφοτέροις γὰρ σχέσις ἐστὶ, καὶ οἰκειότης κληρούχῳ. [g] Ἑλλάδος φωνῆς] Καὶ Ἑλλὰς γυνὴ, καὶ φωνὴ, ὥσπερ καὶ Περσὶς φωνὴ, καὶ γυνὴ καὶ χώρα. οὕτω καὶ Καισάρεια γυνὴ, καὶ Ἀντιοχία, καὶ φωνὴ ὁμωνύμως τῇ πόλει, καὶ Ἀρμενία γυνὴ καὶ φωνὴ ὁμώνυμος τῇ χώρᾳ. ἄλλως· ζητῶν δὲ εἴσκω μὴ κανονικῇ ἀκολουθίᾳ τινὶ δύνασθαι καθυποβάλλεσθαι τὰ ἐθνικὰ ταῦτα ὀνόματα. ἰδοὺ γὰρ Παγασαὶ μὲν ἡ πόλις, ὁ δὲ πολίτης εὑρέθη τριχῶς, Παγασεὺς, Παγασαῖος, Παγασίτης· καὶ πάλιν, Αἰγαῖος καὶ Αἰγαιώτης. ἀλλ' ἐπὶ μὲν τῶν ἐν Κιλικίᾳ Αἰγῶν, Αἰγαῖος ὁ πολίτης· ἐπὶ δὲ τῶν ἐν Μακεδονίᾳ Αἰγῶν, Αἰγαιώτης· ἐπὶ δὲ τῶν ἐν τῇ Ἀκτῇ Αἰγαιάδος, αἱ δὲ Παγασαὶ τῆς Θετταλίας ἀπὸ τοῦ τὴν Ἀργὼ παγῆναι κατὰ τὸν τόπον, εἴρηνται. οὐ μόνον δὲ Ἀλεξάνδρεια γυνὴ, ἀλλὰ καὶ Ἀλεξανδρίς· οὕτω καὶ Καππαδοκίς. [h] οὔτε τέχνη τις] Ἡ μὲν ἐπιτήδευσις ἐπὶ πλεῖον ἐστὶ τῆς τέχνης. ἐπιτηδεύει γὰρ καὶ τὰ μετὰ τέχνης, καὶ χωρὶς γινόμενα· οἷον τὸ εὔχεσθαι, τὸ νηστεύειν, τὸ σωφρονεῖν, τὸ ἁπλῶς καὶ ἀφελῶς ζῆν. καὶ εἴ τι μὲν τέχνη, τοῦτο καὶ ἐπιτήδευσις· οὐκ, εἴ τι δὲ ἐπιτήδευσις, τοῦτο ἤδη καὶ τέχνη.

νίτης καὶ δημιουργὸς λόγος, ἄλλον μὲν ἄλλης τινὸς ἐπιτηδεύσεως ἢ τέχνης εὑρετὴν προεστήσατο, [i] πάντα δὲ εἰς μέσον προύθηκε πᾶσι τοῖς βουλομένοις, τῷ κοινωνικῷ καὶ φιλανθρώπῳ συνδέων τὸν βίον ἡμῶν, καὶ ποιῶν ἡμερώτερον. σὸν τὸ Ἑλληνίζειν, εἰπέ μοι; τί δέ, οὐ [k] Φοινίκων τὰ γράμματα, ὡς δέ τινες Αἰγυπτίων, ἢ τῶν ἔτι τούτων σοφωτέρων Ἑβραίων, οἳ καὶ πλαξὶ θεογράφοις ἐγγεγράφθαι τὸν νόμον παρὰ Θεοῦ πιστεύουσι; σὸν τὸ ἀττικίζειν; τὸ πεττεύειν δέ, καὶ ἀριθμεῖν, καὶ λογίζεσθαι δακτύλοις, μέτρα τε καὶ σταθμά, καὶ ἔτι πρὸ τούτων, τὰ τακτικὰ καὶ πολεμικά, τίνων; οὐκ Εὐβοέων, εἴπερ Εὐβοεὺς ὁ Παλαμήδης ὁ πολλῶν εὑρετής, καὶ διὰ τοῦτο ἐπίφθονος, καὶ μέντοι καὶ δίκας τῆς σοφίας ἀπαιτηθεὶς, καὶ κατακριθεὶς τοῖς ἐπὶ Ἴλιον στρατεύσασι; τί οὖν, ἂν Αἰγύπτιοι, καὶ Φοίνικες, Ἑβραῖοί τε (οἷς ἡμεῖς συγχρώμεθα πρὸς τὴν ἡμετέραν παίδευσιν) τί δ' ἂν οἱ τὴν νῆσον ἔχοντες Εὔβοιαν μεταποιῶνται τούτων ὡς αὐτοῖς διαφερόντων κατὰ τὰς σὰς ὑποθέσεις, τί δράσομεν; ἢ τί δικαιολογησόμεθα πρὸς αὐτοὺς τοῖς οἰκείοις ἑαλωκότες νόμοις; ἢ πᾶσα στέρεσθαι τούτων ἀνάγκη, καὶ τὸ τοῦ κολοιοῦ πάσχειν, γυμνοὺς εἶναι τῶν ἀλλοτρίων περιαιρεθέντας πτερῶν καὶ ἀσχήμονας; σὰ τὰ ποιήματα; τί δὲ οὐ τῆς γραὸς μᾶλλον ἐκείνης, ἢ τὸν ὦμον σεισθεῖσα παρά τινος συντόνως ἀντιπαριόντος, ὡς λόγος, εἶτ' ἐνδεικνύουσα τῷ σφοδρῷ τῆς ὁρμῆς, ἔπος ἐφθέγξατο· καὶ τοῦτ' ἀρέσαν τῷ νεανίᾳ λίαν, καὶ φιλοπονώτερον μετενεχθέν, τὴν θαυμασίαν σοι ταύτην ἐδημιούργησε ποίησιν; τί τἆλλα; εἰ δὲ τοῖς ὅπλοις μέγα φρονεῖς, παρὰ τίνων σοι τὰ ὅπλα, ὦ γυναικότατε; οὐ τῶν Κυκλώπων,

γρ. τίνος

[i] Πάντα δὲ εἰς μέσον] Τὰ τοιαῦτα λογίζεσθαι καὶ διεξέρχεσθαι τῆς σῆς ἱερᾶς καὶ θεοφιλοῦς ὑπῆρχε ψυχῆς, οὐ τῆς δαιμονιώδους ἐκείνης τοῦ δυσσεβοῦς, καὶ τῶν ὁμοίων. [k] Φοινίκων τὰ γράμμ.] Πρώτους λέγουσι γράμματα τετυπῶσθαι τοὺς Αἰγυπτίους, ἔπειτα συναγαγεῖν Φοίνικας, καὶ εἰς Ἑλλάδα κομίσαι Κάδμον τὸν Ἀγήνορος ἀπὸ Φοινίκης εἰς τὴν Ἑλλάδα παραγενόμενον. διὸ καὶ φοινίκια αὐτὰ προσαγορευθῆναι. εἰσὶ δὲ τὸ παλαιὸν γράμματα ιϛ. α. β. γ. δ. ε. ι. κ. λ. μ. ν. ο π ρ. σ. τ. υ. ὕστερον δὲ καὶ προσευρεθῆναι ὀκτώ. ὑπὸ μὲν Παλαμήδους τέτταρα, ξ. θ. φ. χ. ὑπὸ Σιμωνίδου δὲ τοῦ μελοποιοῦ τὰ ὑπόλοιπα τέτταρα, η. ζ. ψ. ω.

ἐξ

ἐξ ὧν τὸ χαλκεύειν; εἰ δέ σοι μέγα καὶ μέγιστον τῶν ὄντων ἡ ἁλουργὶς, ἐξ ἧς σοφὸς σὺ, καὶ τῶν τοιούτων νομοθέτης, τί οὐκ ἀποθειώσῃ ταύτην Τυρίοις, παρ' ὧν ἡ ποιμενικὴ κύων, ἡ τῇ κόχλῳ βρωθείσῃ, καὶ τὰ χείλη καθαιμαξάσῃ τῷ ποιμένι τὸ ἄνθος γνωρίσασα, καὶ διὰ τούτων παραδιδοῦσα τοῖς βασιλεῦσιν ὑμῖν τὸ πένθιμον τοῖς κακοῖς ῥάκος καὶ ὑπερήφανον; γεωργίας δὲ καὶ ναυπηγίας τί φήσομεν, ἂν ἀπελαύνωσιν ἡμᾶς Ἀθηναῖοι, τὰς Δήμητρας καὶ τοὺς Τριπτολέμους διηγούμενοι καὶ τοὺς δράκοντας, ἔπειτα δὲ Κελεούς τε καὶ Ἰκαρίους, καὶ πᾶσαν τὴν περὶ ταῦτα μυθολογίαν, ἣ καὶ μυστήριον ὑμῖν αἰσχρὸν ταῦτα ἐποίησε, καὶ νυκτὸς ὄντως ἄξιον; βούλει τἄλλα παρεὶς, ἐπ' αὐτὸ τὸ κεφάλαιον ἀναδράμω τῆς σῆς ἐμπληξίας, εἴπω θεοβλαβείας; αὐτὸ δὲ πόθεν σοι τὸ μυεῖσθαι καὶ μυεῖν, καὶ τὸ θρησκεύειν; οὐ παρὰ Θρᾳκῶν; καὶ ἡ κλῆσις πειθέτω σε. τὸ θύειν δὲ οὐ παρὰ Χαλδαίων, εἴτ' οὖν Κυπρίων; τὸ ἀστρονομεῖν δὲ οὐ Βαβυλώνιον; τὸ δὲ γεωμετρεῖν οὐκ Αἰγύπτιον; τὸ δὲ μαγεύειν οὐ Περσικόν; τὴν δὲ δι' ὀνείρων μαντικὴν τίνων ἢ Τελμισσέων ἀκούεις; τὴν οἰωνιστικὴν δὲ τίνων; οὐκ ἄλλων ἢ Φρυγῶν τῶν πρώτων περιεργασαμένων ὀρνίθων πτῆσίν τε καὶ κινήματα. καὶ ἵνα μὴ μακρολογῶ, πόθεν σοι τὸ καθ' ἕκαστον; οὐχ ἓν ἐξ ἑκάστων; ὧν πάντων εἰς ταὐτὸ συνελθόντων, ἓν δεισιδαιμονίας συνέστη μυστήριον. τί οὖν δεξόμεθα πάντων ἀποχωρησάντων εἰς τοὺς πρώτους τε καὶ τοὺς εὑρημένους, μηδὲν ἔχειν ἡμέτερον, πλὴν τῆς κακίας καὶ τῆς περὶ τὸ θεῖον ταύτης καινοτομίας; πρῶτος γὰρ Χριστιανοὺς ἐπωνόμασας τῷ δεσπότῃ, καθάπερ τοὺς δούλους ποτὲ τοῖς Σκύθαις, ὥς φασιν, ἐπενόησαν. πολλοῦ μὲν τ' ἂν ἄξιον ἦν, εἰ σοὶ διελύθη τὸ [1] πονηρὸν τοῦτο σύνταγμα (κατὰ τοὺς σοὺς ὅρους καὶ νόμους) ἵν' ἡμεῖς ἦμεν πραγμάτων ἀπηλλαγμένοι, καὶ πάλιν ἐπὶ

γρ. Βαβυλωνίων;

[1] πονηρὸν σύνταγμα] Τὸ τῆς ἐπαναστάσεώς φησι σύνταγμα, κατὰ τοὺς ὅρους καὶ νόμους οὓς προσέθηκεν, ὥστε τῆς παιδεύσεως ἀμοίρους εἶναι χριστιανοὺς τῆς ἐκ Ἑλλήνων συνεστηκυίας, καὶ λοιπὸν ταύτῃ διέλοιτο ἐπ' αὐτῷ τὸ σύνταγμα καὶ τὸ σύστημα τῶν λόγων. ἀλλ' εἴθε, φησὶ, καὶ τὸ σύνταγμα αὐτὸ κατὰ τῆς εὐσεβείας τάχιστα διελύθη· οὕτω γὰρ ἂν πλείστων ἡμεῖς κακῶν ἀπηλλάγημεν.

τῆς ἀρχαίας εὐδαιμονίας τὴν Ῥωμαϊκὴν ἀρχὴν ὁρᾶν ὑπῆρχε πάσης ἀπηλλαγμένην ἐμφυλίου στάσεως· ὅ τοῦ παρὰ τῶν ἔξωθεν πολέμου πολλῷ φευκτότερόν ἐστι καὶ φοβερώτερον, ὅσῳ τὰς οἰκείας δαπανᾶν σάρκας τῶν ἀλλοτρίων φευκτότερον. εἶεν.

Εἰ δὲ ταῦτά σοι κακουργίας εἶναι δοκεῖ τὸ λέον ἠμφιεσμένης, καὶ πόρρω βασιλικῆς μεγαλοπρεπείας, φέρε, σοι παραστήσω καὶ τὰ τούτων ἔτι κερδαλεώτερα. ὁρῶν γὰρ τὸν ἡμέτερον λόγον μέγαν μὲν ὄντα τοῖς δόγμασι, καὶ ταῖς ἄνωθεν μαρτυρίαις, τὸν αὐτὸν παλαιόν τε ὁμοῦ καὶ νέον (παλαιὸν μὲν ταῖς προρρήσεσι καὶ τοῖς ὑπαστράπτουσι νοήμασι γρ. κινήμασι τῆς θεότητος, νέον δὲ τῇ τελευταίᾳ θεοφανείᾳ, καὶ τοῖς ἐκ ταύτης τε, καὶ περὶ ταύτην θαύμασιν) ἔτι δὲ μείζω καὶ γνωριμώτερον τοῖς παραδεδομένοις καὶ εἰς τόδε τετηρημένοις τύποις τῆς ἐκκλησίας· ἵνα μηδὲ τοῦτο ἀκακούργητον μένῃ, τί μηχανᾶται, καὶ τί ποιεῖ; μιμεῖται Ῥαψάκην τὸν Ἀσσύριον. ἐστρατήγει δὲ ἄρα τῷ βασιλεῖ τῶν
δ. Βασ. ιη. Ἀσσυρίων Σενναχηρείμ. οὗτος ἐπὶ τὴν Ἰουδαίαν στρατεύσας, καὶ δυνάμει πολλῇ καὶ χειρὶ τὰ Ἱεροσόλυμα πολιορκῶν καὶ τῇ πόλει προσκαθεζόμενος, ἐπεὶ μήτε δυνάμει παραστήσασθαι τὴν πόλιν οἷός τε ἦν, μήτε τι τῶν ἔνδον αὐτῷ παρὰ τῶν προδοτῶν ἐνεδίδοτο, λόγοις ἡμέροις καὶ ὁμογλώσσοις ὑποποιεῖσθαι τὴν πόλιν ἐπιχειρεῖ· ὃ δὴ συνέντας λέγεται τοὺς πολιορκουμένους, τοῦτο παραιτήσασθαι πρῶτον, Συριστὶ λαλεῖσθαι αὐτοῖς ἀλλὰ μὴ Ἑβραϊστὶ κελεύσαντας, ὡς τάχα ἂν εἰς δουλείαν κλαπεῖσι τῇ ἡμέρᾳ τῆς διαλέξεως. τοῦτο δὴ καὶ οὗτος διανοηθεὶς, διδασκαλεῖα μὲν ἱδρύσασθαι κατὰ πᾶσαν πόλιν ἕτοιμος ἦν, βήματά τε καὶ προεδρίας καὶ ὑφεδρίας, Ἑλληνικῶν τε δογμάτων ἀναγνώσεις καὶ ἀναπτύξεις, ὅσαι τε ἤθη ῥυθμίζουσι, καὶ ὅσαι τῆς ἐπικρύψεως, εὐχῶν τε τύπον ἐν μέρει, καὶ τῆς τῶν ἁμαρτανόντων κατὰ μέτρον ἐπιτιμήσεως, [m] προτελειῶν τε καὶ τελειώσεων, καὶ ὅσα τῆς ἡμετέρας σαφῶς ἐστιν εὐ- γρ. [illegible]

m προτελειῶν] Προτέλειοι εὐχαί, αἱ περὶ νοσούντων, καὶ ἀποδήμων παρ' ἡμῖν καὶ καρπῶν καὶ τῶν πιστῶν.

ταξίας

ταξίας· ἔτι δὲ καταγώγια πήξασθαι καὶ ξενῶνας, ἁγνευτήριά τε, καὶ παρθενῶνας, καὶ φροντιστήρια, καὶ τὴν εἰς τοὺς δεομένους φιλανθρωπίαν, τήν τε ἄλλην ὁπόση, καὶ τὴν ἐν τοῖς ἐπιστολιμαίοις συνθήμασιν, οἷς ἡμεῖς ἐξ ἔθνους εἰς ἔθνος τοὺς χρῄζοντας παραπέμπομεν· ἃ δὴ καὶ μάλιστα τῶν ἡμετέρων εἶχε θαυμάσας.

Ταῦτα διενοεῖτο μὲν ὁ καινὸς δογματιστής τε καὶ σοφιστής· μὴ ἐπιτελῆ δὲ γενέσθαι μηδὲ εἰς ἔργον ἀχθῆναι τοῦ ἀνδρὸς τὴν ἐγχείρησιν, οὐκ οἶδ' εἴτε ἡμῖν κέρδος τοῖς ἐκείνου τε καὶ τῆς ἐκείνου θᾶττον ἀπηλλαγμένοις, εἴτε τῷ προελθόντι [n] μέχρι τῆς ὀνειρώξεως. ἐδείχθη γὰρ ἄν, ἵνα μὲν ἀνθρώπων κινήματα, ἵνα δὲ [o] πιθήκων μιμήματα. ἐπεὶ καὶ οὗτοι μιμεῖσθαι μὲν λέγονται τῶν ἀνθρωπίνων ἵνα, δελεασμάτων κακοτέχνως προτιθεμένων τούτοις μέντοι καὶ ἁλίσκονται, μὴ δυνάμενοι ἐξικέσθαι τοῦ ἡμετέρου σοφοῦ τῆς μιμήσεως. οὐ γὰρ μᾶλλον ἵππος Θεσσαλική, καὶ γυνὴ Λακεδαιμονία, καὶ ἄνδρες οἱ τῆς Ἀρεθούσης πίνοντες, οὓς δὴ λέγω Σικελιώτας, ὡς ὁ περὶ αὐτῶν χρησμός, τὸ ἔκκριτον τῶν ὁμογενῶν ἔχουσιν, ἢ Χριστιανοῖς τὰ τοιαῦτα ἔθη τε καὶ νομοθετήματα τῶν πρεπωδεστάτων ἐστί, καὶ οἷα μηδ' οὐδενὸς ἂν ἄλλου ζηλω-

γρ. προστιθ.
γρ. ἐξαίρετον
γρ. δεστέρων

[n] μέχρι τῆς ὀνειρώξεως] Εἴτε τρισαθλίῳ μᾶλλον Ἰουλιανῷ κέρδος ἦν τὸ βασιλεῦσαι μέχρι τῆς ἐν ὕπνοις ὄψεως· εἰ γὰρ ἡμῖν μὲν οἱ στέφανοι πλείους ἐπὶ πλεῖον ἀγωνιζομένοις, καὶ πρὸς μηδένα τῶν ἀνταγωνιστῶν κρατουμένοις, ἐκείνῳ δὲ μείζων ἡ βάσανος, ὅσῳ καὶ πλεῖον τοὺς ἁγίους ἐκόλαζεν, ὡς οὖν ἐγὼ κρίνω. ὁ γὰρ ἅγιος πατὴρ ἀμφίβολον αὐτὸ τέθεικε. μᾶλλον Ἰουλιανῷ κέρδος ἦν τὸ θᾶττον ἀπελθεῖν, καὶ ταύτῃ τῇ οὐρανίῳ δίκῃ ἔλαττον τῆς τιμωρίας ὀφλῆσαι. ἡμῖν μὲν γὰρ ἀθλήσασι καὶ νενικηκόσι, μείζων ἡ φιλοτιμία καὶ εὐδοξία, ὅ,τε παρὰ Θεοῦ ἔπαινος ὁμοῦ τε καὶ στέφανος πάσης φιλοτιμίας ὑψηλότερός τε καὶ μακαριστότερος· μὴ προελθοῦσι δὲ εἰς ἀγῶνα τοσοῦτον καὶ ἄθλησιν, τοῦ μηδένα διώκειν, κίνδυνος οὐδείς. ὀνείρωξιν δὲ λέγει τὴν διὰ τῶν ὀνείρων φαντασίαν, τὴν ὄψιν τὴν ἐν τοῖς ὕπνοις. φησὶ οὕτω δὲ τὸ ῥῆμα, ἀντὶ τοῦ, δι' ὀνείρων βλέπω· τὸ δὲ ὀνειροπολεῖν ἐγρηγορότος ἐστὶν ἐνύπνιον. τὸ γὰρ τοῖς πολλοῖς ἀποφαντάζεσθαι σημαινόμενον, τοῦτο παρὰ τοῖς πεπαιδευμένοις τὸ ὀνειροπολεῖν δηλοῖ. φαντάζεσθαι δὲ κυρίως ἐστὶ τὸ φαίνεσθαι.

[o] πιθήκων μιμήματα] Ἁλίσκονται οἱ πίθηκοι μὴ ὄντες ἄνθρωποι· οὕτως ἂν καὶ Ἰουλιανὸς μᾶλλον ἑάλω τὰ χριστιανῶν μιμούμενος, τὰ διδασκαλεῖα καὶ τὰ τοιαῦτα ἱδρύσασθαι διανοεῖσθαι.

θέντα τὴν ἡμῖν ἕπεσθαι βουλομένων· ἐπεὶ μὴ ταῖς ἡμετέραις ἐπινοίαις μᾶλλον, ἢ θείᾳ δυνάμει καὶ χρόνου βεβαιότητι τὰ τοιαῦτα νενίκηκεν. [p] Οὐδὲν δ' οὖν καὶ τὴν θαυμασίαν αὐτῶν ταύτην ἀνάπλασιν ἢ μετάπλασιν ὡς ἐπὶ σκηνῆς θεωρῆσαι, καὶ καταμαθεῖν τίς μὲν ἂν ἦν ὁ τῆς διδασκαλίας τρόπος αὐτοῖς, τί δὲ τὸ [q] πέρας τῶν συνελεύσεων· ἵν', ὅ φησι Πλάτων περὶ τῆς ἐν λόγῳ πόλεως, ἴδωμεν κινουμένην αὐτῶν τὴν ἐπίνοιαν. Εἰς δύο γὰρ ταῦτα διῃρημένης πάσης φιλοσοφίας, θεωρίαν τε λέγω καὶ πρᾶξιν (καὶ τῆς μὲν ὑψηλοτέρας οὔσης, δυσκατορθώτου δέ· τῆς δὲ ταπεινοτέρας, χρησιμωτέρας δὲ) ἡμῖν μὲν ἀμφότερα δι' ἀλλήλων εὐδοκιμεῖ. καὶ γὰρ θεωρίαν συνέκδημον πρὸς τὰ ἐκεῖθεν ποιούμεθα, καὶ πρᾶξιν θεωρίας ἐπίβασιν. οὐδὲ γὰρ οἷόν τε εἶναι, σοφίας μετέχειν μὴ σοφῶς ἀναστραφέντας. τοῖς δ' οὐκ οἶδα ὁπότερον δόξει γελοιότερόν τε καὶ ἀσθενέστερον, οὐκ ἔχουσιν ἐκ θείας ἐπιπνεύσεως τὸ δυνατὸν τοῦ συστήματος· ὥσπερ τῶν ῥιζῶν αἳ καθ' ὕδατος ὀχοῦνται πῆξιν οὐκ ἔχουσαι.

Καὶ δὴ βαλλώμεθα εἰς [r] τὴν μακαρείαν αὐτῶν (ἵν' ὀλίγα καὶ αὐτοὶ, παίζουσιν αὐτοῖς καὶ μυθολογοῦσιν, ὥσπερ ἐν πολλοῖς τῶν δραμάτων, συμπαίξωμεν· καὶ προστεθείη τῷ χαίρειν μετὰ χαιρόντων, καὶ κλαίουσι συνδακρύειν, τὸ καὶ ληραίνουσι συλληρεῖν ἀνέχεσθαι) καὶ [s] γέλωτα ἐν δακρύοις ποιηταὶ γινώσκουσιν. ἔστω τὸ θέατρον εὐπρεπὲς (ἢ οὐκ οἶδ' ὅ,τι καλοῦ τὸν οἶκον αὐτῶν κελεύουσιν) οἱ κήρυκες βοάτωσαν, ὁ λαὸς συνίτω, τὴν προεδρίαν ἐχέτωσαν εἴτε οἱ πολιᾷ καὶ χρόνῳ καὶ τῷ τῆς πολιτείας ἐξειλεγμένῳ προέχοντες, εἴτε οἱ γένει καὶ δόξῃ περίβλεπτοι, καὶ σοφίᾳ τῇ κάτω [πλε-

γρ. ἐννοίαις
γρ. ταῦτα
γρ. πῶς αὐτοῖς τ. δ. τρ.
γρ. ἐνεργούμενον ἀλλ. ἐνεργουμένην
γρ. καὶ εἰσβ.
γρ. συμπαίζωμεν
γρ. εὐπρεπὲς
γρ. καλοῦσιν

p Οὐδὲν δ' οὖν] Ἀντὶ τοῦ, οὐδὲν βέλτιον, ἢ οὐδὲν δυσχερές. q πέρας τῶν συνελ.] Ἀπὸ τῶν Ἑλληνικῶν δηλονότι. τί δὲ ἄλλο ἦν τὸ πέρας τῶν συνελεύσεων αὐτῶν, ἢ ματαιότης, πολὺ μὲν τὸ δυσσεβές, πλεῖον δὲ τὸ ἀνυπόστατον ἔχουσα.

r τὴν μακαρίαν] Ἐκκλησίαν, πολιτείαν δηλονότι. τὸ δὲ μακαρείαν, κατ' εἰρωνείαν εἴρηται. s γέλωτα ἐν δακρύοις] Καλλιμάχειον τοῦτο φέρεται· ἐπεὶ θεὸς οὐδὲ γελᾶσαι ἀκλαυστὶ μερόπεσσιν ὀιζυροῖσιν ἔδωκεν.

κομψὴν],

κωμῳδίῃ], καὶ πλεῖον ἐχούσῃ τὸ τερπνὸν τῆς ἀληθοῦς εὐσεβείας. τοῦτο γὰρ ἐπ' αὐτοῖς ποιησόμεθα. τί ποιήσουσι τὰ ἑξῆς; αὐτοὶ σφᾶς ἑαυτῶν προέδρους [t] γραψάτωσαν. ἁλουργὶς αὐτοὺς κοσμήσει καὶ [u] ταινία, καὶ στεφάνων ἄνθος καὶ κάλλος· ἐπειδὴ πολλαχοῦ τὸ σεμνὸν ἔγνων αὐτοῖς σπουδαζόμενον καὶ τὸ ὑπεραῖρον τοῦ ἰδιώτου· ὡς τοῦ μὲν κοινοῦ καὶ πεζοῦ τὸ εὐκαταφρόνητον ἔχοντος, τοῦ δὲ ὑπερόγκου καὶ δυσεφίκτου τὸ ἀξιόπιστον. ἢ κἂν ταῦτα μέχρις ἡμῶν καταβήσονται, μὴ τὸ ἐν τοῖς σχήμασιν ὑψηλὸν μᾶλλον, ἢ τὸ ἐν τῷ τρόπῳ πρέπειν αὐτοῖς, ὥσπερ ἡμεῖς, νομίζοντες; ἡμῖν γὰρ τοῦ μὲν φαινομένου καὶ γραφομένου βραχὺς ὁ λόγος· ἡ πλείων δὲ πραγματεία περὶ τὸν ἐντὸς ἄνθρωπον, καὶ μεθέλκειν τὴν θεατὴν ἐπὶ τὸ νοούμενον, ᾧ καὶ μᾶλλον τοὺς πολλοὺς ἐκπαιδεύομεν.

[x] Ταῦτα μὲν δὴ ταύτῃ. τί δὲ τὸ ἐντεῦθεν; προέξεις αὐτοῖς [y] ὑποφήτας δηλαδὴ θεοφόρων λογίων, ὡς δὴ αὐτοὶ φαίητε, καὶ βίβλους ἀνελίξεις θεολογικάς τε καὶ ἠθικάς. τίνας ταύτας, εἰπέ μοι, καὶ τίνων; καλὸν προσᾴδεσθαι τὴν Ἡσιόδου θεογονίαν αὐτοῖς, καὶ τοὺς ἐκεῖ πολέμους καὶ κλόνους, τοὺς Τιτᾶνας, τοὺς Γίγαντας μετὰ τῶν φοβερῶν ὀνομάτων τε καὶ πραγμάτων. Κόττος, Βριάρεως, Γύγης, Ἐγκέλαδος, οἱ δρακοντόποδες ὑμῶν, οἱ κεραυνοφόροι θεοί, [z] αἱ τούτοις ἐπαφιέμεναι νῆσοι, βέλη τε ὁμοῦ καὶ τάφοι τοῖς ἀπομητίσασι, τὰ [a] πικρὰ τούτων γεννήματα καὶ προβλήματα, ὕδραι, [b] χί-

[t] γραψάτωσαν] Ἀντὶ τοῦ, λογογραφείτωσαν αὐτοὺς, οἵτινες κατὰ τὸ σχῆμα προκαθίζεσθαι μέλλοισιν. [u] Ταινία] Ἐστι διάδημα κεφαλῆς ἐξ ὑφάσματος ἀντὶ στεφάνου τῷ μετώπῳ περιτιθεμένη· ταύτῃ καὶ γυναῖκες στεφανοῦνται, καὶ μάλιστα αἱ Ῥωμαῖαι· καὶ πολλοῖς πολλάκις παρὰ τοῖς συγγραφεῦσι ποιεῖται τόδε τὸ ῥῆμα, ταινιῶ, ταινιοῖς. [x] ταῦτα μὲν δὴ] Ἀντὶ τοῦ, ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον.

[y] Ὑποφήτας] Ὑποφήτης ἐστὶν ὁ ὑπηρέτης καὶ ὑπαναγινώσκων τοῖς προεδρεύουσιν ἱερεῦσιν, ὡσανεὶ εἴπομεν ἀναγνώστας ἢ διακόνους. [z] αἱ τούτοις ἐπαφιέμεναι.] Τοῖς θεοῖς δηλονότι, παρὰ τῶν γενναιοτάτων γιγάντων. ὁ γὰρ Ἐγκέλαδος, ὥς ληροῦντές φασιν, ἐπαφῆκε τῷ Διῒ τὴν Σικελίαν, εἶτα ταύτην ὁ Ζεὺς κατ᾽ ἐκείνου στρέψας ἔθαψεν αὐτὸν, καὶ ὑπόκειται τῇ Σικελίᾳ ὁ Ἐγκέλαδος.

[a] πικρὰ τούτων] Τῶν γιγάντων. [b] χίμαιραι] Χίμαιρα καλεῖται ἡ αἶξ, ἡ ἐν χειμῶνι γεννηθεῖσα. νῦν δὲ περὶ τῆς Παταρικῆς φησι.

μαιραι

μαιραι, Κέρβεροι, Γοργόνες, [c] φιλοτιμία παντὸς κακοῦ. Ταῦτα ἴστω τῆς Ἡσιόδου καλὰ ταῖς ἀκοαῖς παραπέτασμα. Ὀρφεὺς παρίτω μετὰ τῆς κιθάρας καὶ τῆς πάντα ἑλκούσης ᾠδῆς· ἐπιβρεμέτω Διῒ τὰ μεγάλα καὶ ὑπερφυῆ τῆς θεολογίας ῥήματα καὶ νοήματα,

Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρῳ,

ὅση τε μηλείη, ὅση τε ἱππείη, ὅση τε ἡμιόνων· ἵν' ἐντεῦθεν οἶμαι δειχθῇ τὸ ζωογόνον τοῦ Θεοῦ καὶ φερέσβιον (οὐ γὰρ ἄλλως οἷόν τε ἦν) καὶ μηδὲ τῆς [d] ἄλλης φείδεσθαι μεγαληγορείας.

Ὣς εἰποῦσα θεὰ, δοιοὺς ἀνεσύρατο μηροὺς,

ἵνα τελέσῃ τοὺς ἐραστὰς, ἃ καὶ νῦν ἔπι τελεῖ τοῖς σχήμασιν. ἐπὶ πᾶσιν ὁ Φάνης τε καὶ ὁ Ἠρικεπαῖος, καὶ ὁ πάντας καταπίνων τοὺς ἄλλους εἶτ' ἀναδιδοὺς θεοὺς, ἵνα γένηται πατὴρ ἀνδρῶν τε θεῶν τε. Ταῦτα ἐπεισκυκλείσθω τοῖς θαυμαστοῖς τῆς θεολογίας ἀκροαταῖς, εἶτ' ἐπινοείσθω τούτοις ἀλληγορήματα καὶ τερατεύματα, καὶ τὴν παρακειμένην ἐκπίπτων ὁ λόγος εἰς βάραθρα χωρείτω καὶ κρημνοὺς θεωρίας οὐκ ἐχούσης τὸ στάσιμον. Ὅμηρον δὲ ποῦ θήσεις, τὸν μέγαν τῶν θεῶν σου κωμῳδιογράφον, εἴτ' οὖν τραγῳδοποιόν; ἀμφότερα γὰρ εὑρήσεις ἐν τοῖς θαυμασίοις αὐτοῦ ποιήμασι, τὰ μὲν συμφορᾶς, τὰ δὲ γέλωτος ἄξια. καὶ γὰρ ὄντως οὐ μικρᾶς τῆς φροντίδος ἐκεῖνο ἰδεῖν, πῶς μὲν Ὠκεανὸς τῇ Τηθύϊ καταλλαγήσεται δι' Ἥρας πορνικῶς κοσμουμένης· ἐπεὶ κινδύνος πᾶς πάντα χρόνον τινὰ σωφρονούντων αὐτῶν, εἴτ' οὖν τὴν ξηρὰν φύσιν καὶ τὴν ὑγρὰν καταλλάττεσθαι δέοι, μὴ τῷ πλεονασμῷ τοῦ ἑτέρου τὸ πᾶν συγχυθῇ, εἴτε τι ἄλ-

γρ. ἐπιτελεῖ ἀλλ. ἐπιτελεῖται

---

[c] φιλοτιμία παντὸς κακοῦ] Ἀντὶ τοῦ ἀσθενία, δαψίλεια, πολυτέλεια. ὡς δὲ πολλάκις εἶπον, τρία ἐστὶ τὰ σημαινόμενα τοῦ ὀνόματος· φιλονεικία, κενοδοξία ἤ τι ἐπιφάνεια, καὶ τρίτον τὸ δαψιλὲς καὶ φιλόδωρον. [d] ἄλλης φείδεσθαι] Φείδεσθε οἱ Ἕλληνες ὑμεῖς. διὰ τὴν εἰρωνείαν εἶπε, μεγαληγορείας.

λο ποιοῦσιν ἐπινοίας ἀτοπώτερον. τίς δὲ ἡ θαυμασία μίξις τοῦ νεφεληγερέτου καὶ τῆς σεμνῆς Ηρας, ἡνίκα ἀδημονῶν αὐτὸν ἀναπείθει μεσούσης ἡμέρας· καὶ τὸ ποιηταὶ μετὰ τῶν μέτρων αὐτὸν κολακεύωσι, λωτὸν ὑποστρωννύντες ἐρσήεντα, καὶ κρόκον ἀναφύοντες ἐκ τῆς γῆς καὶ ὑάκινθον; πόθεν ταῦτα, καὶ τίς τούτων ὁ λῆρος; πῶς δὲ ἡ αὐτὴ καθ' ὑμᾶς Ηρα ἡ τοῦ μεγάλου Διὸς ἀδελφὴ καὶ ὁμόζυγος, νῦν μὲν
χ. νεφέλη ἐν αἰθέρι καὶ νεφέλαις κρεμαμένη, καὶ σιδηροῖς ἄκμοσι καθελκομένη, καὶ χρυσαῖς τιμωρουμένη χειροπέδαις, ἡ λευκώλενός τε καὶ ῥοδοδάκτυλος, ὡς μηδὲ τοῖς πράττεσθαι βουλομένοις τῶν θεῶν ἀκίνδυνον εἶναι τὴν φιλανθρωπίαν· νῦν δὲ ὅλον τὸν τῶν ἐρώτων κεστὸν ἐφ' ἑαυτὴν ἕλκουσα διὰ τῶν πρὸς τὸν Δία καλλωπισμάτων, ὡς καὶ πάντας ὁμολογεῖν αὐτὸν τοὺς ἐπὶ πάσαις ἐρωτικὲς ἑνὸς τούτου παραπολὺ λειπομένους; τίς δὲ ὁ φόβος μὴ τῶν θεῶν κινουμένων ὑπὸ τῆς Λακαίνης [e] μοιχάδος, καὶ οὐρανοῦ σαλπίζοντος, ἀναρραγῇ μὲν γῆς ἕδρα, μεταρμοσθῇ δὲ θάλασσα, δημοσιευθῇ δὲ ᾅδου βασίλεια, καὶ εἰς τοὐμφανὲς ἔλθῃ τὰ διὰ μακροῦ χρόνου συγκεκαλυμμένα; τίς δὲ ἡ τῶν κυανέων ὀφρύων ἐπίνευσις, καὶ ἡ τῶν ἀμβροσίων τριχῶν συγκίνησις, ὅλον Ολυμπον κατασείουσα; τίς δὲ ὁ πτερωσκόμενος Αρης, ὁ χαλκῷ κεράμῳ κατακλειόμενος, ὁ τῆς χρυσῆς Αφροδίτης ἀφυὴς ἐραστὴς καὶ μοιχὸς ἀπερίσκεπτος, καὶ παρὰ Αμφιγυήεντι κρατούμενος, καὶ θέατρον τῶν θεῶν ἐφ' ἑαυτῷ συλλέγων ἀδημονοῦντι, καὶ μικροῖς χρήμασιν ἀφιέμενος;

Ταῦτα πάντα, καὶ πλείω τούτων οὕτω σοφῶς καὶ πολυτρόπως
ἡ. ὑμῶν συγκείμενα καὶ παντάπασιν ἔξω [f] τῶν νενομισμένων, τίς οὕτως ἡμῶν

---

[e] μοιχάδος] Η μοιχὰς, ἡ μοιχαλὶς οὐκ εἴρηται. χρῶνται δὲ αὐτῇ τοῦ ὀνόματος τῇ μετοχῇ οἱ συγγραφεῖς, οἷον ἡ μοιχευομένη. ἀλλ' οἱ ἅγιοι πατέρες οὐκ ἐφρόντισαν τῆς πάσης ἀκριβείας τῶν εὐτελῶν λεξυδρίων τόπων, ὡς θεοῦ ἄνθρωποι, ἀλλ' ἔστιν ἢ παρεῖδον ἑκόντες, τὴν τῶν πραγμάτων ἀλήθειαν προτιμήσαντες, ἣ οὔτε ὑψοῦσθαι, οὔτε ταπεινοῦσθαι τοῖς ὀνόμασι πέφυκε. Λάκων δὲ Λάκαινα, ὡς δράκων δράκαινα. μοῖραι δὲ Πελοποννήσου αὗται, Λακωνικὴ, Ηλιακὴ, Μεσηνιακὴ, Αργολικὴ, Αρκαδική. [f] τῶν νενομισμένων] Περὶ φύσεως δηλονότι.

ὑψηλός τε καὶ μέγας, καὶ ὄντως [g] Διῒ μῆτιν ἀτάλαντος, ὡς εἰς τὸ εὐπρεπὲς ἀναγαγεῖν λόγοις θεωρίας ὑπερνεφεῖς καὶ ὑπὲρ τὰ ἡμέτερα μέτρα τῆς καταλήψεως; καίτοι ταῦτα εἰ μὲν ἀληθῆ, μήτ' αἰσχυνέσθωσαν [h] καὶ φιλοτιμείσθωσαν, ἢ ὅτι μὴ αἰσχρά, πειθέτωσαν. καὶ πόθεν καταφεύγουσιν αὖθις ἐπὶ τὸν μῦθον, ὡς τῆς αἰσχύνης συγκάλυμμα; οὐ γὰρ θαρρούντων, ἀλλ' ὑποχωρησειόντων ὁ μῦθος. εἰ γρ. ἀσχημοσύνης
δὲ ψευδῆ, πρῶτον μὲν ἐπιδεικνύτωσαν ἡμῖν τοὺς [i] γυμνοὺς θεολόγους, ἵν' ᾖ πρὸς ἐκείνους ἡμῖν ὁ λόγος. ἔπειτα λεγέτωσαν πῶς οὐκ εὐήθεις, οἷς ὡς μυθικοῖς αἰσχύνονται, τούτοις ὡς ἱεροῖς καλλωπίζεσθαι· καὶ ἃ τοὺς πολλοὺς λανθάνειν δυνατὸν ἦν (οὐ γὰρ πάντων ἡ παίδευσις) ταῦτα δημοσιεύειν ταῖς ἁπάντων ὄψεσιν [k] ἐν πλάσμασί τε καὶ γράμμασι, καὶ τὸ δεινότατον μετὰ ὅσης τῆς εἰς χρήματα ζημίας, ἔν τε ναοῖς, καὶ βωμοῖς, καὶ ἱδρύμασι, καὶ ἀναθήμασι, καὶ θυσίαις πολυταλάντοις· καὶ ἀζημίως [l] ἐνὸν εὐσεβεῖν, ἀσεβεῖν αἱρεῖσθαι μετὰ ζημίας. Εἰ δὲ ταῦτα μὲν ποιητῶν εἶναι φήσουσι πλάσματα καὶ ληρήματα, δύο τούτοις προσχρωμένων εἰς τὸ τερπνὸν τῆς ποιήσεως, μέτρῳ καὶ μύθῳ, καὶ οἷς καταγλυκαινόντων τούτοις τὴν ἀκοήν, αὐτοῖς δὲ ἀπορρητότερον εἶναι καὶ βαθύτερον τὸν ἐναποκείμενον τούτοις νοῦν, καὶ διαβατὸν ὀλίγοις τῶν σοφωτέρων, σκοπεῖτε ὡς ἁπλῶς καὶ δικαίως περὶ τούτων ἐγὼ διαλέξομαι. πρῶτον μὲν πῶς

[g] Διῒ μῆτιν] Λῆρος (ὡς ἀληθές) πολύς τε καὶ ἀρχαῖος τὰ παρ' Ἕλλησι θεῖα δοκοῦντα καὶ σεβάσμια· οὐ μόνον δέ, ἀλλ' οὐδὲ παλαιόν τι μάθημα παρ' αὐτοῖς, ὡς αὐτοί φασιν, οὔτε τῶν ἀνθρωπίνων, οὔτε τῶν θείων. Ἕλληνες ἀεὶ παῖδές ἐστε φησί που τῶν ἑαυτοῦ διαλόγων ὁ Πλάτων, παρὰ γὰρ Ἕλλησι μάθημα παλαιὸν οὐκ ἔστιν· εἴρηται ἐν τῷ Κριτίᾳ πρὸς Σόλωνα μεγαλοφρονοῦντά τι παρά τινι τῶν ἐν Ἡλίου πόλει τῇ κατ' Αἴγυπτον ἱεροπρεσβυτῶν, εἰδότος ἅμα καὶ μαρτυροῦντος ὅτι πολλοὶ νεώτεροι τῶν ἄλλων οἱ τὴν Ἑλλάδα χώραν οἰκήσαντες. οἵ τε γὰρ ἄνωθεν ἐξ ἀρχῆς αὐτὴν οἰκήσαντες, οἵ τε μετ' ἐκείνους αὐτὴν αὐξήσαντες, οἱ μὲν ἐξ Αἰγύπτου, οἱ δὲ ἐκ τῆς Ἀσίας ἐλθόντες κατέσχον. ὡς Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ, ὡς Πέλοψ, ὡς Κάδμος, ὡς Φοῖνιξ.

[h] καὶ φιλοτιμείσθωσαν] Ἀντὶ τοῦ, ἀλλὰ καὶ μεγαλοφρονείτωσαν.

[i] γυμνοὺς θεολ.] Τοὺς ἄνευ τινὸς περικαλύμματος θεολογήσαντας. [k] ἐν πλάσμασι] Ἀντὶ τοῦ, ἐν πλαστικῇ, καὶ ζωγραφικῇ. [l] ἐνὸν εὐσεβ.] Πῶς οὐκ εὐήθεις, ἐνὸν τὸ εὐσεβεῖν ἀζημίως, αἱρεῖσθαι μετὰ ζημίας ἀσεβεῖν;

[m] ἐπαινοῦσι

[m] ἐπαινοῦσι τοὺς ὧν σέβουσιν ὕβρεις, καὶ μικροῦ τῶν ἰσοθέων ἀξιοῦσι τιμῶν, [n] οἷς τὸ μὴ δοῦναι δίκην τῆς ἀσεβείας κέρδος, αὔταρκες ἦν; εἰ γὰρ τοῖς εἰς ἕνα Θεὸν αὐτῶν καὶ ἰδίᾳ καὶ μικρὰ βλασφημήσασι θάνατος ἡ ζημία παρὰ [o] τῶν νόμων, τί πάλιν ἔδει τοὺς πᾶσιν [p] ὁμοῦ καὶ δημοσίᾳ, καὶ ἐπὶ τοῖς αἰσχίστοις ἐπαφιέντας τὴν ποίησιν, καὶ μακρῷ χρόνῳ παραδόντας τὴν κωμῳδίαν;

Ἐπειτα καὶ τοῦτο λογίζεσθαι ἄξιον. Εἰσὶ καὶ παρ' ἡμῖν καὶ ἐπί-
γρ. τρόπος κρυψιν λόγοι τινές, οὐκ ἀρνησόμεθα. ἀλλὰ τίς ὁ λόγος αὐτῶν [q] τῆς διπλόης; καὶ τίς ἡ δύναμις; οὔτε τὸ φαινόμενον ἀπρεπές, καὶ τὸ κρυπτόμενον θαυμάσιον καὶ ὑπέρλαμπρον τοῖς εἰς τὸ βάθος εἰσαγομένοις, καὶ, [r] ὥσπερ τι σῶμα καλὸν καὶ ἀπρόσιτον, οὐ φαύλῃ τῇ ἐσθῆτι περικαλύπτεται. δεῖ γάρ, ὡς γοῦν ἔμοιγε δοκεῖ, τῶν θείων μηδὲ τὰς ἐνδείξεις, καὶ τὰς ἐμφάσεις ἀπρεπεῖς εἶναι καὶ ἀναξίας τῶν δηλουμένων, μηδὲ οἵαις ἂν καὶ οἱ ἄνθρωποι λεγομέναις περὶ αὐτῶν [s] δυσχεραίνοιεν· ἀλλ' ἢ τὸ κάλλιστον πάντως ἔχειν, ἢ μὴ τὸ αἴσχιστον, ἵνα τὸ μὲν τοὺς σοφωτέρους εὐφραίνῃ, τὸ δὲ μὴ βλάπτῃ τοὺς πλείονας. ὑμῖν δὲ οὔτε τὸ νοούμενον ἀξιόπιστον, καὶ τὸ προβεβλημένον ὀλέθριον. καὶ [t] τίς ἡ σύνεσις, διὰ βορβόρου πρὸς πόλιν ἄγειν, ἢ διὰ προβόλων τε καὶ ὑφάλων εἰς ὅρμον ἐπείγεσθαι; τί γὰρ
γρ. τούτων ἐκ τούτου συμβήσεται; καὶ τί τῶν λόγων τὸ πέρας; σὺ μὲν ληρήσεις καὶ

---

[m] ἐπαινοῦσι τοὺς] Τοὺς ποιητάς. [n] οἷς τὸ μὴ] Οἷς, ποιηταῖς δηλονότι.

[o] τῶν νόμων] Τῶν Ἑλληνικῶν δηλονότι. [p] ὁμοῦ καὶ δημοσίᾳ] Οὐδὲν γὰρ ἄλλο ἢ κωμῳδοῦσιν οἱ ποιηταὶ τοὺς θεούς. ἔστι δὲ ἢ καὶ τραγῳδοῦσι, τὰς ἐκείνων συμφορὰς δημοσιεύοντες. [q] τῆς διπλόης] Ἀντὶ τοῦ διπλοῦ. διπλοῖ γὰρ οἱ πλεῖστοι τῆς θείας γραφῆς λόγοι. ἄλλο γὰρ τῷ φαινομένῳ δηλοῦντες, ἄλλο νοεῖν τῷ κρυπτομένῳ διδόασι. τὸ δὲ τῆς διπλόης ὄνομα, παρὰ τοῖς ἁγίοις πατράσιν εἴρηται.

[r] Ὥσπερ τι σῶμα καλὸν) σῶμα λάβοις τὸν κρυπτόμενον νοῦν, ἐσθῆτα τὸ φαινόμενον γράμμα. [s] δυσχεραίνοιεν] Οἱ μὲν Ἀττικοὶ τὸ δυσχεραίνω πρὸς αἰτιατικὴν συντάττουσι, νυνὶ δὲ ὁ πατὴρ πρὸς δοτικὴν συνέταξεν, ἀντὶ τοῦ δυσχεραίνω ἐπ' αὐτῷ, περὶ αὐτῶν δὲ λέγει τῶν δηλουμένων καὶ νοουμένων, καὶ τῶν αὐτῶν ἐμφάσεων.

[t] τίς ἡ σύνεσις] Διὰ πετρῶν τῷ ῥοθίῳ κεκαλυμμένων πρὸς λιμένα ἐπείγεσθαι. πρόβολοι δὲ καὶ ὕφαλοι, ἀφανῆ βράχη, ἃ δή ἐστιν ὑπὸ τὴν ἅλα, τουτέστι, τὴν θάλασσαν.

ἀλληγορήσεις τὰς σὰς ἀτυχίας ἢ φαντασίας· οὐδ᾽ πεισομένους οὐκ ἔσται. τὸ γὰρ ὁρώμενον, πιθανώτερον. ὥστε σὺ τὴν ἀκροατὴν ὤνησας, καὶ τὸν θεατὴν ἀπώλεσας μετὰ τοῦ φαινομένου γινόμενον. ἀλλ᾽ ὁ μὲν [u] θεωρητικὸς τόπος αὐτοῖς τοιοῦτος, καὶ οὕτω πόῤῥω [x] τῶν ὑποθέσεων, ὡς πάντα πρότερον εἶναι συμβάλλειν ἀλλήλοις καὶ εἰς ἓν ἀγαγεῖν τὰ μακρῷ κεχωρισμένα, ἢ ταῦτα συνθεῖναι καὶ συναρμόσαι, εἰ τοῦ [y] αὐτοῦ ἀνδρὸς εἶναι φῆσαι, τὰ μυθολογήματά τε [λέγω] καὶ τὰ σκεπάσματα. τί δ᾽ ἂν εἴποις περὶ τοῦ ἠθικοῦ μέρους αὐτῶν; πόθεν, καὶ ἐκ τίνων ὁρμώμενοι, καὶ τίσι χρώμενοι λόγοις, [z] πλάττειν αὐτοὺς εἰς ἀρετὴν δυνήσονται, καὶ πλείστου ποιεῖν ἀξίους ταῖς παραινέσεσιν; [a] ἀρίστη ὁμόνοια, καὶ τὸ συμφρονεῖν ἀλλήλοις πόλεις καὶ δήμους καὶ οἰκίας καὶ τοὺς καθ᾽ ἕκαστον, νόμῳ καὶ τάξει φύσεως ἑπομένους, ἢ πάντα διεῖλέ τε καὶ συνέδησε, καὶ τὸ πᾶν οὕτω κόσμον ἕνα ἐκ πλειόνων πεποίηκε. [b] τίσι τοῦτο διδάξουσιν ὑποδείγμασιν; ἄρα τοῖς πολέμους λέγουσι τῶν θεῶν, καὶ τὰς στάσεις, καὶ τὰς ἐπαναστάσεις, καὶ τὴν κατὰ τὸ πλῆθος, ὧν αὐτοί τε ἔχουσι, καὶ ἀλλήλοις παρέχουσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, ὧν μικροῦ πᾶσα πεπλήρωται συγγραφή τε καὶ ποίησις; θᾶττον μὲν τ᾽ ἂν ἐξ εἰρηνικῶν μαχίμους, καὶ παραπλῆγας ἀντὶ σωφρόνων, ἢ ποιοῦντο μετρίους καὶ σώφρονας ἀντὶ θρασέων καὶ ἀπαιδεύτων τοῖς τοιούτοις ἂν ἐργάσαιντο παραδείγμασιν. ὡς γὰρ καὶ δίχα τῶν εἰς τὸ χεῖρον ἑλκόν-

γ. ἔσωθ

γ. συμβαίνειν

γ. σκέμματα.

γ. διδάσκουσιν

[u] θεωρητικὸς τόπος] Ἀντὶ τοῦ, δογματικός. ἐν ἄλλοις δὲ ἔσωθεν λείπεται. [x] τῶν ὑποθέσεων] Ἀντὶ τοῦ, ἀρχῶν καὶ κρηπίδων καὶ θεμελίων· τὸ γὰρ φαινόμενον παρ᾽ Ἕλλησιν ὑπὸ τὸ ἀλληγορούμενον καὶ νοούμενον κεῖται. [y] αὐτοῦ] Τὰ παρ᾽ Ἕλλησιν οὐ συμβαίνουσιν ἀλλήλοις, ὡς πολλάκις τὰ περὶ ἑνὶ εἰρημένα ἀνδρί, ἄλλῳ καὶ ἄλλῳ δοκεῖν εἰρῆσθαι, ἀλλὰ μὴ αὐτῷ. [z] πλάττειν αὐτοὺς] Ἆρα τὰς τοῦ Ἰσοκράτους παραινέσεσι χρώμενοι δυνήσονται σφᾶς αὐτοὺς βελτίους ποιεῖν καλοῦ; μὴ τιμάτωσαν οὖν τοὺς θεούς, ἐκεῖνοι γὰρ καὶ πρὸς ἀλλήλους στασιάζουσι, καὶ μᾶλλον ἄδικοι καὶ ἀκόλαστοι, ἢ δίκαιοι καὶ σώφρονες, ὥστε μισεῖν τοὺς θεοὺς ἄξιον τόν γε σώφρονα καὶ δίκαιον εἶναι βουλόμενον. μισεῖν δὲ καὶ τὸν Ἰσοκράτην αὐτὸν εὔλογον, καὶ εἴ τις ἄλλος αὐτοῖς παρόμοιος, ὅτι πολλὰ καὶ ἀγαθὰ ἐπαινέσαντες καὶ πονήσαντες, πονηροὺς θεοὺς τιμᾶν εἰσηγήσαντο.

[a] ἀρίστη ὁμόνοια] Κατ᾽ ἀπόφασιν ἀναγνωστέον. [b] τίσι τοῦτο διδάξουσι] Τὴν ὁμόνοιαν δηλονότι.

πων

τὸν χαλεπὸν μεταθεῖναι κακίας, καὶ [c] πρὸς τὴν κρείττω μεταστῆσαι μοῖραν ἀπὸ τῆς χείρονος, τούτους τίς ἂν πείσειεν ἡμέρους εἶναι καὶ καθεκτίους θεοῖς χρωμένους ὁδηγοῖς τῶν παθῶν καὶ προστάταις; [d] ἔνθα τὸ κακὸν εἶναι, καὶ τίμιον (ὡς θεῶν τινα προϊστάμενον, οὗ τὸ πάθος ἐστὶ) βωμοῖς τε καὶ θυσίαις τιμώμενον, καὶ παρρησίαν εἰληφὸς ἔννομον. τοῦτο γὰρ τὸ δεινότατον, ὅτι ἃ τοῖς νόμοις κολάζετε, ταῦτα ὡς θεῖα σέβετε· τοσαύτη τις ὑμῖν τῆς ἀδικίας ἡ περιουσία. [e] δεύτερον αὖθις προκείσθω γονέων αἰδὼς καὶ τιμή, καὶ τό, [f] τὴν πρώτην αἰτίαν τοῦ εἶναι σέβειν μετὰ τὴν πρώτην τοῦτο καὶ λόγος εἰσηγείσθω, καὶ θεολογία πειθέτω. πῶς δὲ οὐ πείσει Κρόνος οὐρανὸν ἐκτεμών, ἵν' ἄγονος ᾖ θεῶν, καὶ δὴ τοῖς κύμασιν ἀποτελέσας θεὸν Ἀφροδίτην γέννημα· καὶ Κρόνῳ Ζεὺς ἐπιβουλευσάμενος κατὰ μίμησιν τοῦ πατρὸς, ὁ γλυκὺς λίθος καὶ πικρὸς τυραννοκτόνος, εἴτε τι ἄλλο τοιοῦτον αὐτοῖς εἰς τιμὴν τῶν γεννησαμένων αἱ βίβλοι φέρουσι; τεῖχος αὐτοῖς ἔστω χρημάτων ὑπεροψία καὶ τὸ μὴ πανταχόθεν κερδαίνειν, μηδὲ τοῦ δυστυχεῖν ἀρραβῶνα τὸ κακῶς κτᾶσθαι λαμβάνειν. πῶς οὖν ὁ Κερδῷος αὖθις σταθήσεται, καὶ τὸ [g] Σακέλλιον προβληθήσεται, καὶ ἡ κλεπτικὴ δύναμις τοῦ Θεοῦ τιμηθήσεται, καὶ τὸ ἄνευ χρυσοῦ Φοῖβον μὴ μαντεύεσθαι, μηδὲ εἶναί τι τοῦ ὀβολοῦ τιμιώτερον; ταῦτα γὰρ αὐτῶν τὰ σεμνὰ καὶ σεβάσμια. τί ἔτι; σωφροσύνην διδασκέτωσαν, ἐγ-

γρ. κολάζεσθε,
γρ. σέβεται
γρ. ἄνευθε

[c] πρὸς τὴν κρείττω] Δῆλον ὅτι πρὸς τὴν ἀρετὴν λέγει.

[d] ἔνθα τὸ κακὸν] Ἔνθα φησὶν, ἐν τῷ χρῆσθαι τοῖς κακοῖς. δῆλον ὅτι καὶ τὸ κακὸν εἶναι ἄνθρωπον, οὐ μόνον οὐκ ἄτιμον, ἀλλὰ καὶ τίμιον, ὡς θεῶν τινος προϊσταμένου τῆς κακίας ἐκείνης, ἤτοι τοῦ πάθους οὗ ἡ κακία, ἤτοι τὸ πάθος ἐστὶ τιμώμενον βωμοῖς καὶ θυσίαις. οὕτως ὀρθῶς νοήσεις λαμβάνων τὴν αἰτιατικὴν ἀντὶ τῆς γενικῆς. ὥσπερ τὸ ἐξὸν καὶ παρὸν, ἀντὶ τοῦ, ἐξόντος καὶ παρόντος λαμβάνομεν· οὕτω κἀνταῦθα ἀντὶ τοῦ, θεῶν τινος προϊσταμένου ληπτέον τὴν αἰτιατικήν.

[e] Δεύτερον αὐτοῖς] Δεύτερον εἶπεν, ἐπειδὴ πρότερον ἔταξεν, -ὅπερ- ἔχειν οὐ δύνανται, τὴν ὁμόνοιαν. [f] τὴν πρώτην αἰτίαν] Ἀντὶ τοῦ, τοὺς γονεῖς μετὰ θεόν. [g] Σακέλλιον] Σακέλλιον Ῥωμαϊκὴ λέξις ἐστὶ, φυλακὴν τῶν χρημάτων σημαίνουσα, ὅθεν καὶ Σακελλάριον καλοῦσι τὸν ταμίαν καὶ φύλακα τῶν χρημάτων.

κράτειαν εἰσηγείσθω. καὶ ὁ πείθων ἐστίς, πάντα γινόμενος διὰ τὰς γυναῖκας ὁ Ζεύς, καὶ [h] Φρυξὶ μειρακίσκοις ἀετὸς ἐραστὴς ὁ φίλτατος (ἵν' ὡς ἥδιστα συμποσιάζοιεν οἱ θεοὶ τοῖς Διὸς οἰνοχοουμένοι παιδικοῖς) καὶ ταῖς πεντήκοντα Θεσπίου θυγατράσιν ἐναθλεύων Ἡρακλῆς ἐν μιᾷ νυκτὶ ὁ Τριέσπερος, καὶ τρισκαιδέκατον ἆθλον τοῦτον ἐπιτελέσας οὐκ οἶδ' ὅπως τοῖς ἄλλοις γε οὐ συναριθμούμενον· ἐπικροτείτω τὸν θυμὸν Ἄρης, μέθην Διόνυσος, μισοξενίαν Ἄρτεμις, ἀπάτην ὁ Λοξίας αὐτὴν χρησμολογῶν, γέλωτος ἀμετρίαν ὁ καταχωλεύων Θεὸς τῶν θεῶν λυπουμένων καὶ ἀραιαῖς ταῖς κνήμαις ἐπιρρωννύμενος, γαστριμαργίαν ὁ Ζεὺς ἐπὶ δαῖτα λιπαρὰν τρέχων μετ' ἀμύμονας Αἰθιοπῆας σὺν τοῖς λοιποῖς δαίμοσιν, ὁ Βουθοίνας τὸν γεωργὸν τυραννήσας καὶ τὸν ἀρότην βοῦν λαφύξας, καὶ τὴν κλῆσιν λαβὼν ἐκ τῆς πράξεως, καὶ πάντες ταῖς κνίσαις καὶ ταῖς [i] λοιβαῖς ἐπιτρέχοντες. καίτοι [k] πῶς ταῦτα τῶν ἡμετέρων ἐστί; οἷς ὅρος μὲν φιλίας αὐτὸς ἕκαστος, καὶ τὸ τὰ αὐτὰ βούλεσθαι τοῖς πλησίον, ἃ καὶ σφίσιν αὐτοῖς· ἔγκλημα δὲ οὐ μόνον [l] τὸ γενέσθαι κακόν, ἀλλὰ καὶ τὸ μελετῆσαι, μικροῦ καὶ τῆς ὁρμῆς κολαζομένης, ὡς πράξεως· οἷς σωφροσύνη μὲν οὕτω σπουδάζεται, ὥστε καὶ ὀφθαλμὸς ἀναστέλλεται, χεὶρ δὲ φονικὴ τοσοῦτον πόρρωθεν εἴργεται, ὥστε καὶ θυμὸς σωφρονίζεται· [m] ἐπὶ ὅρκον δὲ χωρῆσαι ἢ ὀμόσαι οὕτω δεινὸν καὶ ὑπέρορκον, ὥστε καὶ τὸν ὅρκον μόνοις ἡμῖν τυγχάνειν ἀπώμοτον. χρήματα δὲ τοῖς μὲν πολλοῖς οὐδ' ἐστίν· πολλοῖς δὲ διὰ τοῦτ' ἔστιν ὧν

γρ. μειρακίοις

γρ. ἐπίορκον δὲ ὀμόσαι

[h] Φρυξὶ μειρακίσκοις] Μειρακίσκος εἴρηται καὶ μειράκιον, ἀπὸ τοῦ μεῖον καὶ ἧττον εἰρεῖν καὶ λέγειν τῶν ἀνδρῶν τὸν νέον. [i] λοιβαῖς] Ἀντὶ τοῦ, σπονδαῖς. εἴρηται παρὰ τὸ λείβειν, καὶ στάζειν καὶ σπένδειν. [k] πῶς ταῦτα] Εἰπὼν τὰ τῶν Ἑλλήνων, καὶ δείξας πάντα ὕβρεως καὶ τῆς τυχούσης ἀλογίας καὶ βδελυρίας μεστά, τὰ ἡμέτερα λοιπὸν, ὡς ἂν ἐν κεφαλαίῳ καὶ βραχεῖ λόγῳ, διεξέρχεται, ὑψηλὰ πάντα καὶ πανταχοῦ θεῖα δημοσιεύων. [l] τὸ γενέσθαι κακὸν] Οὐ τὸ γενέσθαι κακὸν ἔγκλημα ἡμῖν μόνον, ἀλλὰ καὶ τὸ πρὸς κακίαν ὁρμῆσαι καὶ μόνον τῇ διανοίᾳ συνθέσθαι.

[m] ἐπὶ ὅρκον δὲ] Τί λέγω, φησὶν, ὅτι βαρύτατον χριστιανοῖς ἐπίορκον ὀμόσαι, ὅπουγε καὶ αὐτὸ τὸ εὐορκεῖν μόνοις ἡμῖν ἀπηγορευμένον ἐστίν; οὐ γὰρ μόνον τὰ ἀποτελέσματα, ἀλλὰ καὶ τὰς ἀρχὰς τῶν φαύλων ἐκκόπτειν ὁ λόγος ἐθέλει.

ἡδέως

ἡδέως πλείω καὶ μόνον, ἵνα πλειόνων ὑπερίδωσι, τὸ μηδὲν ἔχειν ἀντὶ παντὸς πλούτου φιλοσοφοῦντες· γαστέρα δὲ τοῖς πολλοῖς ἀπορρίψαντες, ὡς πικρὰν δέσποιναν καὶ ἄπληστον, καὶ πάντων κακῶν μητέρα, οὐ μέγα φῆσαι, ὅτι μηδὲ σάρκες εἶναι βιάζονται, τῷ [n] ἀθανάτῳ τὸ θνητὸν ἀναλίσκοντες· καὶ νόμος εἷς αὐτοῖς ἀρετῆς τὸ [o] μηδὲ τῶν μικρῶν ἡττᾶσθαι καὶ πᾶσι προσορωμένων. τὸ γὰρ κάλλιστον, ὅτι τῶν ἄλλων τὰ τέλη τιμωρουμένων κατὰ τοὺς [p] νόμους, ἡμεῖς καὶ τὰς ἀρχὰς κολάζομεν, ὥσπερ τι ῥεῦμα πονηρὸν καὶ δυσκάθεκτον πόρρωθεν ἀναστέλλοντες. ποῦ δέ, καὶ παρὰ τίσιν ἀνθρώπων, εἰπέ μοι, τὸ λοιδορουμένους εὐφημεῖν, βλασφημουμένους [q] παρακαλεῖν (ὡς οὐ τῆς " κακηγορίας βλαπτούσης μᾶλλον, ἢ τῆς ἀληθείας) διωκομένους ὑποχωρεῖν, γυμνουμένους " προσαπεκδύεσθαι, καταρωμένους ὑπερεύχεσθαι τῶν ἀρωμένων, ἐν λόγῳ χρηστότητι νικᾶν θρασύτητα, καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας οἷς καρτεροῦμεν πάσχοντες. καίτοι κἂν εἰ κακίαν δοίημεν " αὐτοὺς κολάζειν πῶς τοῦ πλάσματος παραινέσεσι, πῶς τὸ φθάσαι πρὸς τὰ μέτρα τῆς ἡμετέρας ἀρετῆς καὶ παιδεύσεως; οἷς καὶ τὸ μὴ [r] " προβαίνειν τῷ καλῷ, μηδὲ νέους ἀντὶ παλαιῶν ἀεὶ

γρ. κατηγορίας

γρ. προσαποδ.

γρ. αὐτοῖς

γρ. προβ.

---

[n] τῷ ἀθανάτῳ] Ἀντὶ τοῦ, τῷ λογικῷ. [o] μηδὲ τῶν μικρῶν] Οἷον τὸ μόνον ἐμβλέψαι γυναῖκας πρὸς τὸ ἐπιθυμεῖν, καὶ συντίθεσθαι τῇ ἐπιθυμίᾳ.

[p] νόμους] Κατὰ τοὺς πολιτικοὺς δηλονότι· καὶ κατ' αὐτὸν δὲ τὸν παλαιὸν καὶ θεῖον νόμον, ἐπεὶ σκιὰ καὶ τύπος ἦν τῆς κατὰ Χριστὸν τελειότητος. ὁ γὰρ ἔφη Μωϋσῆς, οὐκ ὀμμύσεις, οὐδὲ τὴν ἀρχὴν ἐπιχειρήσεις ἐπιτιμήσας, ἢ φονεῦσαι, ἀλλ' οὐκ ἐπιθυμήσεις τόδε, οὐ μοιχεύσεις, οὐ φονεύσεις· ὥστε καὶ τοῦτο οὐ τῆς ἀρχῆς, τοῦ δὲ τέλους ἐπικόπτει. [q] παρακαλεῖν] Ἀντὶ τοῦ, προτρέπειν εἰς ἀρετήν.

[r] μὴ προβαίνειν τῷ καλῷ] Ἄτοπον λέγει ὁ πατήρ, χριστιανὸς ὄντας, μὴ ἀναβαίνειν τῇ ἀρετῇ, καὶ λαμπροτέρους γίνεσθαι ταῖς ἐπιδόσεσιν. οἱ γὰρ ἐν ἑνὶ καὶ ταὐτῷ ἀεὶ στρεφόμενοι, παισὶν ἐοίκασιν, οἳ παιδιὰν εἰώθασι παίζειν τινά, ἀκροπήνιον ἐπί τινος λείου χωρίου θέμενοι, καὶ τοῦτον ἱμάντι παίοντες περιστρέφουσιν, ἐξ οὗ συμβαίνει μίαν καὶ τὴν αὐτὴν ἀεὶ κινεῖσθαι τὴν κίνησιν, οὐ προϊοῦσαν ἐπί τι ἄλλο, ἀλλὰ τὸ στάσιμον ἔχουσιν. ἐν ἄλλῳ στρόμβων περιστρεφομένους. τὴν δὲ τοιαύτην φησὶν ὁ κηλῶν, ὅτι, εἰ μὴ προσεπηρεαστικοὶ εἶεν, βαρύνονται, εἰ δὲ ἐπιζητεῖται, ἀξιοῦνται. στρόμβος. στρομβός. ἐπιστατέον ἐν τῇ λέξει πῶς νοεῖται. αἱ στροφαὶ ὧν καλοῦνται στρόμβοι, τὸ δὲ στρεφόμενον ἀκροπήνιον.

γίνεσθαι, ἀλλ' ἐν τούτῳ μένειν, [f] κακία δοκεῖ, στρόμβων τὸ πάθος, περιτρεχόντων οὐ προϊόντων, καὶ στάσιμον κινουμένων, ἵν' οὕτως εἴπω, τῇ βίᾳ τῆς μάστιγος. καὶ δὴ τὸ μὲν ἡμῖν ἀξιοῦσθαι τῶν καλῶν, τοῦ δὲ ἔχεσθαι, τοῦ δὲ ἐφίεσθαι, μέχρι τοῦ τέλους καὶ τῆς θεώσεως, ἐφ' ἣν γεγόναμεν, καὶ πρὸς ἣν ἐπειγόμεθα οἵ γε ἀναβατικοὶ τὴν διάνοιαν, καί τι τῆς τοῦ Θεοῦ μεγαλονοίας ἐλπίζοντες ἄξιον.

[f] κακία δοκεῖ.] Ὅρα πῶς κακίαν εἶπεν εἶναι, καὶ δοκεῖν τὸ μένειν ἐν τοῖς αὐτοῖς, καὶ μὴ προϊέναι ἐπί τι μεῖζον ἀγαθόν. ἐπ' ἀληθείας δὲ οὕτως ἐσμὲν κατὰ τὸ ἠθικὸν οἱ νῦν χριστιανοὶ οἱ πλεῖστοι δ' ἡμῶν, καὶ κατ' αὐτὸ τὸ θεωρητικόν, ὡς ὁ ἐν εἰκόνι γραπτὸς ἄνθρωπος, ὃς σχῆμα μὲν ἀνθρώπου φέρει καὶ τύπον, κίνησιν δ' οὐκ ἔχει οὐδ' ἐνέργειαν, ἀλλ' ἀξιοῦται μὲν τῆς κλήσεως, ἀλλοτριοῦται δὲ τῆς πράξεως. τοιοῦτοι νῦν οἱ πλείους τῶν χριστιανῶν, ὃ καὶ δακρύειν ἄξιον, ἐπεὶ καὶ πρῶτος ἐγώ.

ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ ΣΤΗΛΙΤΕΥΤΙΚΟΣ ΔΕΥΤΕΡΟΣ.

Οὗτος μὲν δὴ τὴν ἐμὴν λόγων ὁ πρῶτος ἄεθλος ἐκτετέλεσται καὶ διήνυσται. καὶ γὰρ ἐπεδειξάμην ἱκανῶς τὴν τοῦ ἀνδρὸς κακοήθειαν, ἐν οἷς ἔδρασέ τε καθ' ἡμῶν, καὶ οἷς ἔμελλεν, ἀεί τι τῶν προόντων ἐπινοῶν βαρύτερον. νῦν αὖτε [a] σκοπὸν ἄλλον (ὃν οὐκ οἶδ' εἴ τις βέβληκεν) ἤδη τοῦ λόγου προστησόμεθα, Θεῷ τε ἱερώτερον, καὶ ἡμῖν ἥδιον, καὶ τοῖς ἔπειτα χρησιμώτερον· τοῖς [b] εἰρημένοις προσθεῖναι τὰ δίκαια τοῦ Θεοῦ σταθμία, καὶ οἷς [c] ἀντιταλαντεύεται πονηρία, τοῖς μὲν αὐτόθεν ἀπαντῶσα, τοῖς δὲ καὶ μικρὸν ὕστερον· ὅπως ἂν οἶμαι τῷ τεχνίτῃ Λόγῳ δοκῇ καὶ ταμίᾳ τῶν ἡμετέρων, ὃς οἶδε [d] συμφορὰν μὲν ἐπικόπτειν ἐλέῳ, θράσος δὲ ἀτιμίᾳ

γρ. σταθμά, γρ. πονηρία ἀπαντῶντι.

[a] σκοπὸν] Εἰς ὃν σκοπὸν οὐκ οἶδα, φησίν, εἴ τις ἄλλος ἐπεχείρησεν εἰπεῖν. αὐτὸ τοῦτο, οὐκ οἶδα εἰ προλαβὼν ἄλλος τὴν ἀξίαν τοῦ τυράννου τελευτὴν τῷ λόγῳ διεξῆλθεν.

[b] εἰρημένοις προσθεῖναι] Ποῖον τοῦτο; τὸ προσθεῖναι τοῖς προτέροις λόγοις τὴν δικαίαν, ἐπὶ τῷ τυράννῳ, τοῦ δεσπότου ψῆφον. [c] ἀντιταλαντεύεται] Ἀντὶ τοῦ, σταθμίζεται καὶ ἐξετάζεται. [d] Συμφορὰν] Ἀρειανῶν δηλονότι.

[e] σωφρονίζειν

[e] σωφρονίζειν καὶ μάστιξιν, οἷς αὐτὸς [f] ἐπίσταται μέτροις παιδεύσεως. νόσους μὲν δὴ τὰς ἀσεβῶν ἐνδίκους, καὶ ῥήξεις οὐκ ἀφανεῖς, καὶ πολυτρόπους ἄλλας πληγὰς καὶ μάστιγας οἷς τετολμήκασι παραπλησίας, καὶ θανάτους οὐ κατὰ τὸ εἰωθὸς χωρίσαντας, καὶ τὰς ἐν αὐτοῖς τοῖς δεινοῖς ἐξαγορεύσεις, καὶ [g] ἀνονήτους μεταμελείας, τάς τε δι' ὀνειράτων παιδεύσεις, καὶ τὰ [καθ'] ὕπαρ φαντάσματα, τίς ἂν ἀξίως [h] ἐκτραγῳδήσειεν; ὅσα τε ἢ περὶ τοὺς θείους οἴκους παρανομήσασιν, ἢ περὶ τὰς ἱερὰς τραπέζας ἐξυβρίσασιν, ἢ περὶ τοὺς μυστικοὺς κρατῆρας μανεῖσιν, ἢ τῶν σωμάτων ἡμῶν ἀνέδην ἐμφορουμένοις, ἢ τἄλλα πάντα, ὅσα τετολμήκασι, [i] νεανιευσαμένοις αὐτοῖς ἀπήντησε τῆς τοῦ Θεοῦ κατὰ τῶν τοιούτων ὀργῆς ἐναργῆ καὶ φανερὰ γνωρίσματα; ταῦτα μὲν οὕτως ἑκὼν [k] ὑπερβήσομαι, οὐκ ἀπιστῶν τοῖς ὁρωμένοις καὶ λεγομένοις, οὐδὲ αὐτομάτῳ τινὶ φορᾷ καὶ συντυχίᾳ διδοὺς τὰ συμβαίνοντα, κατὰ τοὺς εἰκῇ τὰ τοιαῦτα ὑπολαμβάνοντας, ἀλλ' ἵνα μὴ περὶ τὰ μικρὰ διατρίβειν δόξω, παρεὶς τὰ μείζω καὶ ὀνομαστότερα. Ὃ δ' οὕτω περιβόητον πᾶσι θαῦμα, καὶ οὐδὲ τοῖς ἀθέοις αὐτοῖς ἀπιστούμενον λέξων ἔρχομαι. ἐμαίνετο καθ' ἡμῶν ἀεί τι πλέον (ὥσπερ κύμασιν ἐπεγείρων κύματα) ὁ καθ' ἑαυτοῦ πρότερον μανεὶς, καὶ πατήσας τὰ ἅγια, καὶ [l] τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας. Ἱεροβοὰμ εἰπεῖν οἰκειότερον, ἢ Ἀχαὰβ τὸν Ἰσραηλίτην, τοὺς παρανομωτάτους, ἢ Φαραὼ τὸν Αἰγύπτιον, ἢ Ναβουχοδονόσορ τὸν Ἀσσύριον, ἢ πάντα ταῦτα

γ. ἐνυβ.

γ. πρώτου

ἴσ. τὸν Ἰσραηλίτην

[e] σωφρονίζειν] Ἀνασέλλειν. [f] ἐπίσταται μέτροις] Ἐπληρώθη μέχρι τούτου τὸ προοίμιον. [g] Ἀνονήτους μεταμελείας] Εἰκότως. ἐν τῷ πάσχειν ἀνάγκης ἐστὶν, οὐ τούτου γνῶσιν ἔχοντος ἡ μεταμέλειαν.

[h] Ἐκτραγῳδήσειεν] Ὅσα ἢ περὶ τοὺς θείους οἴκους παρανομήσασιν, ἢ τὸ καὶ τὸ ποιήσασιν, τίς ἂν ἀξίως ἐκτραγῳδήσειεν; ἀπὸ κοινοῦ γὰρ τοῦτο δεῖ λαβεῖν.

[i] νεανιευσαμένοις] Τὸ νεανιεύεσθαι ἐντεῦθεν εἴρηται, ὅτι νεανίσκοι κατὰ τὴν ῥώμην ἰσχύοντες σεμνύνονται ταύτῃ, καὶ πάνυ φιλοτιμοῦνται. νεανιεύεσθαι γοῦν ἐστιν, ἡνίκα τις δυνάμενος, φιλοτιμεῖται τῇ δυναστείᾳ καὶ σεμνύνεται. [k] ὑπερβήσομαι] Τὸ κατ' ἀποσιώπησιν ἐστὶ σχῆμα, ἐν ᾧ τελείως ἀποσιωπῶντες τὰ πράγματα, ἔμφασιν αὐτῶν μόνην παρέχομεν. [l] τὸ πνεῦμα ἐνυβρίσας] Καὶ ἐνυβρίζω τὸ πρᾶγμα καὶ ἐνυβρίζω τῷ πράγματι.

συνελόντες ἕνα καὶ τὸν αὐτὸν ὀνομάσομεν· ἐπεὶ καὶ τὰς πάντων κακίας εἰς ἑαυτὸν συλλεξάμενος φαίνεται, Ἱεροβοὰμ τὴν ἀποστασίαν, Ἀχαὰβ τὴν μιαιφονίαν, Φαραὼ τὴν σκληρότητα, Ναβουχοδονόσορ τὴν ἱεροσυλίαν, πάντων ὁμοῦ τὴν ἀσέβειαν. ἐπεὶ δὲ πάντα διεξελθὼν τἄλλα, καὶ πᾶν εἶδος τῆς καθ' ἡμῶν τυραννίδος, ὡς μικρόν τι καὶ ἀγεννὲς ἀτιμάσας (οὐ γὰρ ἐγένετο πονηροτέρα φύσις ἐκείνης εἰς κακῶν εὕρεσιν καὶ ἐπίνοιαν) τέλος ἐπαφῆκε καὶ τὸ Ἰουδαίων φῦλον ἡμῖν, τὴν παλαιὰν [τε] αὐτῶν κουφότητα, καὶ τὸ καθ' ἡμῶν ἄνωθεν ὑποσμυχόμενον ἐν αὐτοῖς μῖσος συνεργὸν λαβὼν τοῦ τεχνάσματος, [m] ἐπιθειάζων τε δῆθεν ἐκ τῶν παρ' αὐτοῖς βίβλων καὶ ἀπορρήτων, ὡς νῦν αὐτοῖς ἀποκείμενον εἴη κατελθεῖν εἰς τὴν ἑαυτῶν, καὶ τὸν νεὼν ἀναδείμασθαι, καὶ τῶν πατρίων τὸ κράτος ἀνανεώσασθαι, [καὶ] ἀποκρυπτόμενος εὐνοίας πλάσματι τὴν ἐπίνοιαν. ἐπεὶ δὲ ταῦτα καὶ διενοήθη, καὶ ἔπεισεν (εὔκολον γὰρ εἰς ἀπάτην τὸ πρὸς ἡδονὴν ἅπαν) οἱ μὲν ὡς ἀναστήσοντες διενοοῦντο τὸ ἱερόν, καὶ χρείᾳ πολλῇ καὶ προθυμίᾳ περὶ τὸ ἔργον ἐταλαιπώρουν. φασὶ γέ τοι καὶ τὰς γυναῖκας αὐτῶν οἱ τὰ ἐκείνων θαυμάζοντες, οὐ μόνον ἅπαντας τοὺς περὶ τὸ σῶμα κόσμους περιελομένας ἑτοίμως συνεισφέρειν τῷ ἔργῳ καὶ τοῖς πονουμένοις, ἀλλὰ καὶ τοῖς κόλποις τὸν χοῦν ἐκφερούσας, καὶ οὔτε πολυτελοῦς ἐσθῆτος, οὔτε μαλακῶν ἁπαλότητος φειδομένας, εὐσεβεῖν οἴεσθαι, καὶ πάντα [n] ἐλάττω νομίζειν τοῦ ἐγχειρήματος. ὡς δ' ὑπὸ ἀγρίας [o] λαίλαπος καὶ βρασμοῦ γῆς ἄφνω συνελαθέντες, ἐπί τι τῶν πλησίον ἱερῶν, οἱ μὲν, ὡς ἱκετεύσοντες ὥρμησαν, οἱ δὲ, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ συμβαίνειν, τῷ παρόντι χρώμενοι

γρ. ἐκείνου

γρ. ὥσπερ

[m] ἐπιθειάζων] Ἀντὶ τοῦ, τὰ θεῖα λόγια, τὰ παρὰ τοῖς Ἰουδαίοις διαμαρτυρόμενος, ὅσα που κουφότητος Ἰουδαίοις παρεχομένων δῆθεν καὶ παρακλήσεων εἰς τὴν κάθοδον καὶ τὴν τοῦ ἱεροῦ οἰκοδομήν· διαμαρτύρεται δῆθεν τὸν Θεὸν αὐτῶν, καὶ τὰς ἐκείνου προρρήσεις, ὅτι δὴ μὴ κωλύοι τὸν καιρὸν τῆς καθόδου ἐπιστάντα, ἀλλὰ καὶ συνεπιλαμβάνεσθαι ταύτης ἕτοιμος εἴη. ὅτι τούτου τοῦ σημαινομένου, καὶ παρὰ τῷ συγγραφεῖ, τὸ ἐπιθειάζειν εἴρηται. [n] Ἐλάττω νομίζειν] Εἴ τι δήποτε ἐποίουν, ἕκαστον ἔλαττον ἐνόμιζον τῆς ὀφειλομένης προθυμίας. [o] λαίλαπος] Λαῖλαψ ὁ μετὰ συστροφῆς ἄνεμος. βρασμὸς δὲ γῆς, ὁ δῆλον ὅτι σεισμός.

πρὸς

πρὸς [p] βοήθειαν, οἱ δὲ ἄλλως τῇ ταραχῇ συμφερόμενοι καὶ τοῖς θέουσι συνεμπίπτοντες, εἰσὶ μὲν οἳ λέγουσιν, ὡς οὐδὲ τὸ ἱερὸν αὐτοὺς προσεδέξατο, ἀλλ' ἀναπεπταμέναις προσελθόντες ταῖς πύλαις, ἐπιτεθείσαις ἐνέτυχον ἔκ τινος ἀοράτου καὶ ἀφανοῦς δυνάμεως, ἣ τὰ τοιαῦτα τερατουργεῖ πρὸς τὴν τῶν ἀσεβούντων [q] κατάπληξιν, καὶ τὴν εὐσεβῶν ἀσφάλειαν. ὃ δὲ ἅπαντες ἤδη καὶ λέγουσι καὶ πιστεύουσιν, ὅτι βιαζομένους αὐτοὺς καὶ φιλονεικοῦντας περὶ τὴν εἴσοδον πῦρ ἐξελθὸν ἀπὸ τοῦ ἱεροῦ, τοὺς μὲν κατέφλεξε καὶ ἠφάνισεν (ὡς ὅμοιόν τι περὶ αὐτοὺς συμβῆναι τοῖς Σοδομιτῶν πάθεσιν ἢ τῷ περὶ [r] Ναδὰβ καὶ Ἀβιοὺδ θαύματι ξένως θυμιάσασι καὶ κινδυνεύσασι) τοὺς δὲ τὴν χεῖραν [s] ἀκρωτηριάσαν, στήλην ἀφῆκεν ἔμψυχον τῆς τοῦ Θεοῦ κατὰ τῶν ἁμαρτωλῶν ἀπειλῆς καὶ κινήσεως. τοῦτο μὲν δὴ τοιοῦτο. καὶ ἀπιστείτω μηδεὶς, ὅτι μηδὲ ταῖς ἄλλαις τοῦ Θεοῦ δυνάμεσιν. ὃ δὲ ἐπὶ τούτῳ παραδοξότερον καὶ περιφανέστερον, ἔστη φῶς ἐν τῷ οὐρανῷ τὸν σταυρὸν περιγράφον· καὶ τὸ πρότερον ἐπὶ γῆς ἀτιμαζόμενον τοῖς ἀθέοις καὶ σχῆμα καὶ ὄνομα, νῦν ἐν οὐρανῷ δείκνυται πᾶσιν ἐπίσης, καὶ γίνεται τρόπαιον τῷ Θεῷ τῆς κατὰ τῶν ἀσεβῶν νίκης, τροπαίου παντὸς ὑψηλότερον. πρὸς ταῦτα τί φήσουσιν οἱ τοῦ αἰῶνος τούτου σοφοὶ, καὶ τὰ παρ' αὐτοῖς ἀποσεμνύνοντες, οἱ τὰς βαθείας ὑπήνας ἕλκοντες, καὶ [t] τὸ κομ-

γρ. θύραις, γρ. ἀσεβῶν γρ. ἐπὶ

Γεν. ιθ. Λευιτ. ι.

[p] βοήθειαν]. Ὥρμησαν δηλονότι νομίζοντες ὑπὸ αὐτῶν γεγενῆσθαι τὸ θαῦμα. ἄλλοι δὲ ἄλλως εἶχον καὶ γνώμης καὶ ὁρμῆς. [q] κατάπληξιν] Θαυματουργεῖ τὸ θεῖον ἐν τοῖς τοιούτοις καιροῖς δυοῖν ἕνεκα. ἵνα καὶ τοὺς ἀσεβεῖς τῆς ἀσεβείας σχοίη καταπλαγέντας, καὶ τοὺς εὐσεβεῖς εὐσεβεστέρους ἐργάσαιτο εἰς τὴν πίστιν τῷ γεγονότι βεβαιωθέντας. [r] Ναδὰβ καὶ Ἀβιοὺδ] Ἐν ᾧ πρὸς δοτικὴν ἀπήντησε, δοτικὴν δεῖ λαβεῖν καὶ τὸ προειρημένον, ἵν' ᾖ, ἢ τῷ περὶ τῷ Ναδὰβ καὶ Ἀβιοὺδ θαύματι, ἀντὶ τοῦ, ἐπ' αὐτοῖς θαύματι, προθέσεως ἐνταῦθα, ἀντὶ τῆς προθέσεως λαμβανομένης. ἴσασι δὲ οἱ ἀττικίζοντες, καὶ τὴν περὶ αὐτῷ φωνὴν ἀντὶ τῆς περὶ αὐτοῦ λέγειν.

[s] ἀκρωτηριάσαν] Τυχὸν χειρῶν, ἢ ποδῶν, ἢ ῥινὸς, ἢ ὤτων. σημείωσαι δὲ τὴν σύνταξιν ὅτι ἠκρωτηρίαζεν αὐτὸν τόδε τὸ μέλος. ἀκρωτηριάζειν δέ ἐστι, τὸ ἀποκόπτειν τὰ ἄκρα. [t] τὸ κομψοὶ] Τὸ κομψὸν ἐπὶ τεσσάρων εἴρηται· ἐπὶ τοῦ κεκαλλωπισμένου γυναικὸς τυχὸν ἢ μειρακίου, ἢ ἐπὶ τοῦ ὑπερηφάνου, ἢ ἐπὶ τοῦ ῥᾳδίου καὶ ὑγιοῦς, ἢ ἐπὶ τοῦ ἀστείου καὶ χαρίεντος. εἴρηται δὲ ὡς ἀπὸ τοῦ κόμπου.

ψὸν προεισφέροντες ἡμῖν πειθανὸν; αἰτιῶ δή, εἰπέ μοι καὶ σὺ τὰ σά, ὁ τοὺς μακροὺς λόγους γράφων, καὶ τὰς ἀπίστους συνθεὶς ἱστορίας, καὶ κεχηνὼς πρὸς τὰ ἄνω, καὶ τὴν οὐρανίαν καταψευδόμενος, καὶ πλέκων ἐκ τῆς τῶν ἀστέρων κινήσεως τὰς γενέσεις καὶ τὰ συμβαίνοντα. λέγε μοι καὶ σὺ τοὺς σοὺς ἀστέρας, τὸν Ἀριάδνης στέφανον, ἢ τὸν Βερονίκης πλόκαμον, ἢ τὸν ἀσελγῆ κύκνον, ἢ τὸν ὑβριστὴν Ταῦρον, εἰ δὲ βούλει, τὸν Ὀφιοῦχόν σου, ἢ τὸν Αἰγόκερων, ἢ τὸν Λέοντα, ἄλλους τε ὅσους ἐπὶ τῷ κακῷ γνωρίσας, ἢ θεοὺς, ἢ ἀστέρας ἐποίησας. ποῦ σὺ τοῦτον ἔχεις τὸν κύκλον ἐν τοῖς σοῖς μαθήμασι; ποῦ δὲ τὸν ἐπὶ Βηθλεὲμ δραμόντα πρότερον ἐκ τῆς ἑῴας ἀστέρα, τὸν ὁδηγὸν τῶν σῶν μάγων, καὶ προξενὸν; ἔχω τι κἀγὼ λέγειν ἐκ τῶν οὐρανίων. ἐκεῖνος τὴν Χριστοῦ παρουσίαν ἀνεδήλωσεν ὁ ἀστήρ, οὗτος τῆς Χριστοῦ νίκης ὁ στέφανος. ταῦτα μὲν [u] ἐκ τῶν οὐρανίων καὶ τῶν ἄνω συμπαθούντων τοῖς ἡμετέροις κατὰ τὴν μεγάλην τοῦ παντὸς ἁρμονίαν τε καὶ οἰκείωσιν. τὰ δὲ ἑξῆς ὁ ψαλμὸς συμπληρούτω μοι· [x] ὅτι καὶ πόλεις καθεῖλες (ὡς τὰς παλαιὰς ἐκείνας ἐπὶ τοῖς αὐτοῖς ἀσεβήμασιν) ἐν αὐτῷ τῷ καθ' ἡμῶν παρανομίας, τὰς μὲν πελάγεσιν ἐπικλυσθείσας, τὰς δὲ σεισμῷ κατενεχθείσας, ὡς μικροῦ καὶ τὸ λείψανον ἔχειν εἰπεῖν, ὅτι ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου, ἢ προειδόντος τὴν ἀπώλειαν. τί ταύτης γὰρ αὐτῶν ἡ πτῶσις, καὶ πόσου τὸ σύντριμμα καὶ τῶν [y] ἐν γειτόνων καὶ μάλιστα τῇ ἀσεβείᾳ προσχαιρόντων, ὡς [a] πολλοῦ χρόνου δεῖν αὐτῶν (εἴ τις ἄρα καὶ τολμήσειε τοῦτο) πρὸς ἐπανόρθωσιν. ἀργοῦν γὰρ ἡ μὲν ὑπὸ καὶ οὐρανὸς ἀργὸς δὲ οὐκ ἐπισημαίνεις τοῖς τοιούτοις καιροῖς, οὐδὲ ἠλλοιώθη ποτὲ τισὶ σημείοις τοῦ πάθους; ἐπιδειξάτω τις καὶ νῦν τὰς ἑορτὰς οἱ τοῦ θαύματος ἐκείνου θεαταί

Margin (left): Ματθ. β.

Margin (right): χ. … / χ. ψαλμῳδὸς / χ. ποῖον / χ. ἐκ / χ. εἰς νῶ

[u] ἐκ τῶν οὐρανίων] Τὰ γὰρ ἄνω καὶ τὰ κάτω εἰς δεσπότου δοῦλα τοῦ δημιουργήσαντος. εἰκότως οὖν καὶ τὰ ἄνω τοῖς ἡμετέροις οἶδε συμπάσχειν.

[x] ὅτι καὶ πόλεις] Ποίας ἄρα πόλεις ἐκ τῆς οἰκουμένης ἐνταῦθα λέγει, αἳ καὶ πελάγεσιν ἐπικλύσθησαν, καὶ σεισμοῖς κατηνέχθησαν;

[y] ἐν γειτόνων] Ἐν γειτόνων, διὰ τὸ ν κάτωθεν. δύο γάρ εἰσι μέρη λόγου. ἀντὶ τοῦ, ἐν τοῖς τῶν γειτόνων. [a] πολλοῦ χρόνου] Ἀντὶ τοῦ, χρείαν εἶναι πολλοῦ χρόνου εἰς τὸ ὀρθῶσαι αὐτάς.

καὶ μύσαι, τὰς τότε κατασημανθείσας τοῖς τοῦ σταυροῦ σήμασιν. ἐμοῦ τε γὰρ ταῦτα διηγεῖτό τις (εἴτ' οὖν τῶν ἡμετέρων, εἴτ' οὖν τῶν ἔξωθεν) ἢ διηγουμένων ἤκουε, καὶ τὸ θαῦμα ἑώρα περὶ ἑαυτόν, ἢ τὸν πλησίον γινόμενον, κατάστερος ὤν, ἢ ἐκεῖνον ὁρῶν ποικίλον ἐν τοῖς ἐσθήμασι, [b] πάσης ἱστουργικῆς ψηφῖδος ἢ περιέργου ζωγραφίας ποικιλώτερον. ἐκ τούτου τί γίνεται; τοσαύτη τῶν ὁρωμένων κατάπληξις, ὡς μικροῦ μὲν ἅπαντας, ὥσπερ ἐξ ἑνὸς [c] συνθήματος καὶ μιᾶς φωνῆς, τὸν τῶν Χριστιανῶν ἀνακαλεῖσθαι Θεόν, εὐφημίαις τε πολλαῖς καὶ ἱκεσίαις αὐτὸν ἐξιλάσκεσθαι· πολλοὺς δ' οὐκ εἰς ἀναβολάς, ἀλλὰ παρ' αὐτὰ τὰ συμβαίνοντα προσδραμόντας τοῖς ἱερεῦσιν ἡμῶν, καὶ πολλὰ καταδεηθέντας τῆς τε ἐκκλησίας γενέσθαι μέρος [d] καὶ μυηθῆναι τὰ τελειότερα τῷ θείῳ καθαγνισθέντας βαπτίσματι, καὶ διὰ τῶν φοβερῶν ὠφεληθέντας. εἶχε μὲν οὖν οὕτω ταῦτα. ὁ δὲ τὸν κατὰ μικρὸν μανίαις οἰστρηλατούμενος καὶ δονούμενος, ἐπ' αὐτὸ τὸ [e] κεφάλαιον ἀπήντα τῆς ἑαυτοῦ συμφορᾶς. ὡς γὰρ κατὰ νοῦν ἔχειν αὐτῷ τὰ Χριστιανῶν ᾤετο, καὶ οἷς ἤδη κατειργάσατο, καὶ τὸ πᾶν ἁλωτὸν εἶναι θελήσαντι μόνον ἐλπίσας, καί τινα κατὰ τῶν ἑσπερίων βαρβάρων εὐημερίαν ἁρπάσας, μίαν βουλεύεται ταύτην βουλὴν συνετωτάτην τε καὶ [f] φιλανθρωποτάτην. ἄρας δὴ τὸν ἐντεῦθεν στρατόν, τὸν μὲν ὁπλιτῶν, τὸν δὲ τῶν ἀγόντων αὐτὸν δαιμόνων, ᾧ καὶ μᾶλλον εἶχε θαρρεῖν, ἐπὶ Πέρσας στρατεύει, θράσους ἀλογίᾳ μᾶλλον, ἢ ῥώμης ἀσφαλείᾳ πιστεύσας· καὶ οὐδ' ἐκεῖνο συνιδεῖν δυνηθεὶς ὁ σοφώτατος, ὅτι θάρσος καὶ θράσος κἂν εἰ τοῖς ὀνόμασι πλησιάζοι, πλεῖστον ἀλλήλων τῇ δυνάμει κεχώρισται, ἀνδρεία τε ἣν φαμεν

γρ. ξένων

γρ. τούτων

γρ. ἱερῷ

γρ. καὶ διὰ τὸ φοβερὸν τὸ μὴ φοβεῖσθαι.

γρ. τῶν φόβων

γρ. κατείργαστο

[b] πάσης ἱστουργικῆς] Ἀντὶ τοῦ, ὑφαντικῆς. ψηφῖδος, ὡς οἶμαι, Μουσαϊκοῦ, ἢ ἃς καὶ ἐν τοῖς ἐσθήμασι τέχνη ἐκαλλώπιζε. [c] Συνθήματος] Ἐστι σύνθημα κυρίως τὸ σημεῖον τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον, ὥστε ἀλλήλους κατὰ τὴν μάχην μὴ ἀγνοεῖν. ἔστι δὲ καὶ καταχρηστικῶς σύνθημα, ὃ συνθέμενος λέγει ἢ πράττει. παρὰ γὰρ τὸ συντίθεσθαι εἴρηται. [d] καὶ μυηθῆναι] Τὸ μυηθῆναι αἰτιατικῇ καὶ γενικῇ συντάσσεται. [e] κεφάλαιον] Τὸ καίριον καὶ συνεκτικόν.
[f] φιλανθρωποτάτην] Τοῦτο κατ' εἰρωνείαν.

καὶ ἀνανδρία. τὸ μὲν γὰρ ἐν τοῖς τολμητέοις θαῤῥεῖν, ἀνδρείας ἐστίν, ὥσπερ τὸ [g]ὑφίεσθαι, δειλίας. οὗ δὲ πλείων ὁ κίνδυνος, ὁμόσε χωρεῖν καὶ [h]ὠθίζεσθαι, ἀλλὰ μὴ κατέχεσθαι, θράσους, ὥσπερ τὸ ὑποχωρεῖν, ἀσφαλείας. καὶ οὐ τοῦ αὐτοῦ λόγου θετέον φυλάξαι τὰ ὄντα, καὶ τῶν οὐκ ὄντων τι προσλαβεῖν. τὸ μὲν γὰρ μάλιστα καὶ πρῶτον τοῖς νοῦν ἔχουσι τιμητέον, τὸ δὲ ἂν μὲν ὑπάρχῃ μετὰ ῥᾳστώνης, δεκτέον, ἂν δὲ ᾖ ἀντιπίπτῃ, παραιτητέον. ὁ δὲ ὑπὲρ τοῦ κτήσασθαί τι τῶν ἐλπιζομένων πᾶσι τοῖς ὑπάρχουσι κινδυνεύων, λίαν ἀνόητος, καί μοι προσεοικέναι δοκεῖ πύκτῃ κακῷ, τὴν τέχνην, πρὶν τὴν στάσιν εὖ θέσθαι, προβαλλομένῳ, ἢ κυβερνήτῃ, λελυμένης αὐτῷ τῆς νηὸς καὶ οὐ πλοΐμως ἐχούσης, ναῦν καταδύνοντι πολεμίαν, ἢ καταδύειν ἐσπουδακότι. ὧν μοι δοκεῖ μηδὲν ἐκεῖνος ἐνθυμηθεὶς, ἐγχειρεῖν [i]ἀπερισκέπτως τοῖς ἐγνωσμένοις, ἔτι τῶν Ῥωμαϊκῶν ὠδινόντων αὐτῷ, καὶ κακῶς διακειμένων τῷ διωγμῷ μάλιστα, τὴν ἀλλοτρίαν προξενοῦν, καὶ Σαλμωνεὺς εἶναί τις ἐκ βύρσης βροντῶν, πρὸς τοὺς Τραϊανοὺς βλέπων ἐκείνους καὶ τοὺς Ἀδριανοὺς, ὧν οὐκ ἧττον τῆς ἀνδρείας τὸ ἀσφαλὲς ἐθαύμαζεν. τὸν Κάρον δὲ οὐκ ἐνενόει ἐκεῖνον, οὐδὲ τὸν Οὐαλεριανὸν, [k] οἳ δίκας ἔδοσαν ὁρμῆς ἀλογίστου (ἵν', ὅ φησιν ἡ τραγῳδία, μὴ ὀνειδίζω τὰς τύχας) ἐν Περσῶν ὅροις, ἐν ἀκμῇ τῆς εὐτυχίας καταλυθέντες. ἀλλ' οὖν ἔδοξε ταῦτα, καὶ τῆς ὁρμῆς ἦν, πᾶσαν μαντείας καὶ γοητείας, ῥητῆς τε καὶ ἀρ-

[g] ὑφίεσθαι]. Ὑφίεσθαί ἐστι τὸ ὑποπτήσσειν καὶ δεδιέναι. κἀντεῦθέν τι προδιδόναι ὡς πλείστην δυνάμεθα, ἐν ᾧ ὑποχωρεῖν μέν ἐστιν, ἀλλὰ μετὰ κακίας τῆς τοῦ ὑποπεπτωκότος καὶ δεδιότος προδιδόναι τι τὴν εἰς δύναμιν. τὸ οὕτως ἂν μετὰ τοιαύτης κακίας ὑποχωρεῖν, δειλίας ἐστί, τὸ δὲ μετὰ λογισμοῦ βουλομένοις ὀρθῶς ὑποχωρεῖν, ἀσφαλείας ἐστιν, οὐ δειλίας· ἐν ἑκατέρῳ μὲν οὖν, ἔν τε τῇ δειλίᾳ, ἔν τε τῇ ἀσφαλείᾳ ὑποχωρεῖν ἐστιν, ἀλλ' ἐπὶ μὲν τῆς δειλίας, μεθ' ἧς εἴρηκα μὲν κακίας ὑποχωροῦμεν, ἐπὶ δὲ τῆς ἀσφαλείας ὑποχωροῦμεν μετὰ σώφρονος λογισμοῦ --- τρῶν --- αὐτοῖς --- ἐγ--- ἐγχείρο--- ἡμᾶς --- νον ἀπειστονθεν. [h] ὠθίζεσθαι] Ὠθίζω καὶ ὠθίζομαι τὸ ῥῆμα· τὸ δὲ ὄνομα ὠθισμός. [i] ἀπερισκέπτως] Ἀβασανίστως.

[k] Οἱ δίκας] Οἱ δίκας ἔδοσαν ὁρμῆς ἀλογίστου, καταλυθέντες ἐν Περσῶν ὅροις, ἐν ἀκμῇ τῆς εὐτυχίας, ἵν' ὅ φησιν ἡ τραγῳδία, μὴ ὀνειδίζω τὴν τύχην. οὕτως ὑπαλλάξαντα σε δεῖ νοῆσαι.

ῥητοῦ θυσίας περατείαν εἰς ἓν ἀγαγών, ἵν᾽ ἐν βραχεῖ πᾶσα καταλυθῇ. καὶ τὸ [l] καλλιέρημα ὡς μέγα καὶ ὑπερφυές (ὦ Χριστὲ καὶ λόγε, καὶ "πάθη τοῦ ἀπαθοῦς, καὶ κόσμου παντὸς" μυστήριον) ὅλον τὸ Χριστιανῶν γένος παραστῆσαι τοῖς δαίμοσιν, εἴτε τοῦ προκειμένου κρατήσειε. τὰ μὲν οὖν πρὸ τῆς ἐγχειρήσεως αὐτῷ καὶ λίαν νεανικά, καὶ πολλοῖς τῶν τὰ ἐκείνου φρονούντων "περιβοώμενα, ταῦτα. τὴν γὰρ τῶν [m] Ἀσσυρίων ὅσην διαρρέων ὁ Εὐφράτης, καὶ τὴν Περσίδα παραμειβόμενος, ἐκεῖσε τῷ Τίγριδι μίγνυται, [n] ταύτην ἑλὼν καὶ τεμών, καί τινα τῶν φρουρίων ἐξελὼν κατὰ πολλὴν τοῦ "κωλύοντος ἐρημίαν, εἴτ᾽ οὖν λαθὼν διὰ τὸ τῆς ἐφόδου τάχος, εἴτε ὑπὸ Περσῶν οὕτω στρατηγούμενος καὶ κατὰ μικρὸν ὑπαγόμενος εἰς τοὔμπροσθεν (λέγεται γὰρ [o] ἀμφότερα) οὕτω γοῦν προϊών, καὶ τῷ στρατῷ παραπορευομένῳ, καὶ ταῖς ναυσὶ διὰ τοῦ ποταμοῦ "σιτηγούσαις τε καὶ σκευαγωγούσαις, οὐ μικρὸν τὸ ἐν μέσῳ, καὶ Κτησιφῶντι προσβάλλει, ἧς καὶ τὸ πλησίον γενέσθαι νίκης μέρος αὐτῷ διὰ τὸν πόθον ἐνόμιζεν. ἐντεῦθεν δὲ ἤδη, ὥσπερ [p] ψάμμου ποδῶν ὑποσπασθείσης, ἢ νηὶ ζάλης ἐμπεσούσης, εἰς τοὐπίσω

γρ. πάθους

γρ. καθάρσιον

γρ. βοώμενα

γρ. κωλύσοντος

γρ. σιταγωγήσαις

---

[l] Καλλιέρημα] Ἐστὶ τὸ τοὺς θύοντας, ἤτοι τοὺς θυομένοις αἰσίων καὶ δεξιῶν ἐπιτυχεῖν τῶν ἀπὸ τοῦ ἥπατος σημείων. καλῶν οὖν ἐπιτυχὼν ὁ παραπλὴξ ἐκεῖνος, ὡς ᾤετο, ὅ ἐστι καλλιερήσας, ἔλεγεν ὡς εἰ οὕτως ἐπ᾽ αὐτὴν ἀποβαίη τῶν ἔργων, πάντας παραστήσω τοὺς χριστιανοὺς καὶ θύσω τοῖς δαίμοσιν. ἄλλως· Καλλιερῶ σημαίνει, τὸ δεξιῶν ἐπιτυχεῖν σημείων ἐν τῷ θύειν ἀπὸ τοῦ ἥπατος. ἐν τούτῳ γὰρ ἐφαίνετο τὸ ἀποβησόμενον ἢ χρηστὸν ἢ τοὐναντίον ἀνίαρον, ὡς ἐνόμιζον οἱ ἀνόητοι. καλλιερεῖν γοῦν ἔλεγον, ἡνίκα τῶν ἱερείων καλῶν καὶ αἰσίων ἐτύγχανον.

[m] Ἀσσυρίων] Ἀντὶ τοῦ, διὰ μέσης τῶν Ἀσσυρίων ῥέων. ὥσπερ γὰρ τὸ μὲν διαπλεῖν, τὸ ἐπὶ τοῦ μέσου πλεῖν· τὸ δὲ περιπλεῖν, τὸ κύκλῳ πλεῖν· τὸ δὲ παραπλεῖν, τὸ παρὰ τὴν γῆν· οὕτω κἀνταῦθα τὸ διαρρεῖν, τὸ διὰ μέσου ῥεῖν· τὸ δὲ παραρρεῖν, καὶ παραμείβεσθαι τὸ κατὰ μίαν τοῦ τόπου πλευρὰν ῥεῖν, τὸ δὲ περιρρεῖν, τὸ πανταχόθεν. [n] ταύτην ἑλὼν] Ἀντὶ τοῦ, ταύτην Ἀσσυρίαν λαβὼν καὶ δενδροτομήσας. εἰκότως. ταύτης γὰρ ἔδει πρώτης κρατῆσαι, καὶ οὕτως ἐπιχειρῆσαι Πέρσαις ἀνατολικωτέροις οὖσιν Ἀσσυρίων. [o] ἀμφότερα] Ὅτι καὶ ἦλθε τάχεως, καὶ Πέρσαι ἑκόντες ὑπεχώρουν εἰς τοὔμπροσθεν αὐτὸν ἐπαγόμενοι. [p] Ψάμμου ποδῶν ὑποσπασθείσης] Ὁ βαδίζων ἐπὶ ψάμμου, εἴ τις ἄφνω ταύτην ὑποσπάσειε λαθών, ἀνάγκη πεσὼν οὐ βαδίζει· καὶ ἄλλως δέ, βρεχομένων αἰγιαλῶν τῶν ποδῶν ὑποσπᾶται ἡ ψάμμος.

χωρεῖ

χωρεῖ τὰ πράγματα. ἡ γὰρ Κτησιφῶν φρούριόν ἐστι καρτερὸν καὶ δυσάλωτον, τείχει τε ὀπτῆς πλίνθου καὶ τάφρῳ βαθείᾳ καὶ τοῖς ἐκ τοῦ ποταμοῦ [q] τενάγεσιν ὠχυρωμένη. ποιεῖ δὲ αὐτὴν [r] ὀχυρωτέραν καὶ φρούριον ἕτερον, ὃ προσηγορεία Κωχή, κατὰ τῆς ἴσης ἀσφαλείας συγκείμενον, ὅσην τε [s] φυσικὴν καὶ ὅσην χειροποίητον, τοσοῦτον δὲ ἑνούμενον ὡς μίαν πόλιν δοκεῖν ἀμφοτέρας, τοῦ ποταμοῦ μέσου διειργομένας. ταύτας (οὔτε γὰρ ἐξελεῖν οἷόν τε ἦν οὐδὲ ἐξ ἐπιδρομῆς ἀθρόας, ἢ πολιορκίᾳ παραστήσασθαι, οὔτε [t] διεξελάσαι καὶ τῷ ναυτικῷ μάλιστα· κινδυνεῦσαι γὰρ ἂν [u] ἐξ ὑπερδεξιῶν ἀμφοτέρωθεν βαλλόμενον καὶ εἰργόμενον) [x] κατόπιν ἑαυτοῦ ποιεῖται, καὶ τεχνᾶται τὸν τρόπον τοῦτον. τοῦ Εὐφράτου, ποταμῶν ὄντος μεγίστου, μέρος οὐκ ἐλάχιστον ἀπορρήξας καὶ περιαγαγών, ὅσον ναυσὶν εἶναι πλώϊμον, [y] ἐκ διώρυχος, ἧς καὶ ἀρχαῖα φησὶν ἴχνη φαίνεσθαι, καὶ τοῦτο τῷ Τίγρειδι συμβαλὼν μικρὸν ἔμπροσθεν, οὕτω διασώζει τὰς ναῦς, ἐκ τοῦ ποταμοῦ τῷ ποταμῷ δοθείσας ἐν ἀσφαλείᾳ. ὧδε μὲν οὖν τὸν ἐκ τῶν φρουρίων τούτων διαδιδράσκει κίνδυνον. ὡς δὲ προϊόντι Περσικὴ δύναμις παραφαίνεται, καὶ ἀεί τις τῇ οὔσῃ προσγινομένη, [z] κατὰ μετώπου μὲν ἵστασθαι καὶ κινδυνεύειν οὐκ

γρ. ἰσχυροτέραν

γρ. διαρρήξας,

γρ. φασιν

γρ. μετώπου

γρ. διακιν.

[q] Τενάγεσιν] Τέναγός ἐστιν ἰλὺς ἐπιπολάζοντος ὕδατος ὀλίγου, καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι. ἕλος δέ ἐστιν ἰλὺς ὕδατος ἐπικεχυμένου πολλοῦ, καὶ βαθείας ὕλης, ἢ παπύρου, ἢ καλάμου ἐκφυομένης ἀεὶ τοῦ πηλοῦ, καὶ ὑπερανεστηκυίας τοῦ ὕδατος. [r] ὀχυρωτέραν] Ὀχυροῦται καὶ ἰσχυροῦται. ὀχυρωτέρα διὰ τοῦ ω, ἡ γὰρ β συλλαβὴ συστέλλεται· καὶ τὸν μὲν κανόνα τῶν τε συγκριτικῶν καὶ τῶν ὑπερθετικῶν οὐκ ἀγνοοῦμεν· καθ' ὃν τὰ τοιαῦτα συστέλλεταί τε καὶ ἐκτείνεται.

[s] φυσική] Φυσικὴν ἀσφάλειαν τὸ τέναγος, χειροποίητον δὲ τὸ τεῖχος καὶ τὴν τάφρον καλεῖ. [t] Διεξελάσαι] Ἵνα μὴ διὰ μέσου τῶν πόλεων ἐν τῷ ποταμῷ διεξελάσων τὸ ναυτικὸν κινδυνεύσῃ, ἀπορρήξας τὸν ποταμὸν καὶ ἀποκόψας ἔστρεψεν. [u] ἐξ ὑπερδεξιῶν] Ἀντὶ τοῦ, ἐκ τῶν ὑψηλοτέρων· τὰ ὑψηλότερα γάρ, φασιν, ὑπερδέξια. ὑψηλότερα δὲ ἐπέκειτο τῷ Εὐφράτῃ τὰ δύο πολίσματα, Κτησιφῶν καὶ Κωχή. [x] κατόπιν ἑαυτοῦ] Κατόπιν ἑαυτοῦ ποιεῖται τὴν Κτησιφῶντα καὶ τὴν Κωχήν. ἀδύνατον γὰρ αὐτὰς ἑλεῖν παρῆλθεν αὐτὰς ἐάσας ὀπίσω. [y] Ἐκ διώρυγος] Ἦν καὶ προτέρα, φησίν, ἡ διώρυξ, ἐπεσκεύασε δὲ αὐτὴν καὶ ἐπώρυξεν Ἰουλιανός. [z] κατὰ μετώπου] Περσικὴ δύναμις οὐκ ᾠήθη δεῖν ἀντίπρωρος καὶ ἀντιπρόσωπος σταθεῖσα μάχεσθαι.

ᾤετο

φέρε δὲ ἦν δίχα μεγάλης ἀνάγκης, ἐνὸν ἐκ περιουσίας κεκτῆσθαι, ἐκ δὲ τῶν λόφων καὶ τῶν στενῶν, ἃ [a] παρείκοι, βάλλουσα καὶ τοξεύουσα καὶ τὰ καίρια [b] τῆς διόδου προκαταλαμβάνουσα ῥαδίως εἴργει τοῦ

γ. ἔτι πρόσω· τηνικαῦτα ἐν ἀπορίᾳ τι ἦν ἤδη πολλῇ, καὶ οὐκ ἔχων ὅποι τράπηται, λύσιν εὑρίσκει πονηρὰν τοῦ βουλεύματος. ἀνὴρ

γ. ἐν γάρ τις τῶν οὐκ ἀδοκίμων ἐν Πέρσαις (τὸν ἐπὶ Βαβυλῶνι πρὸς

γ. τῶν Κῦρον Ζώπυρον μιμησάμενος) ὡς δή ποτε τῷ Περσῶν βασιλεῖ μάλ-

γ. ἐν λον δὲ μέγιστα καὶ ἐπὶ μεγίστοις προσκεκρουκὼς, καὶ δύσνους μὲν τοῖς ἐκείνου μάλιστα, [c] εὔνους δὲ τοῖς Ῥωμαίων πράγμασι δῆθεν οὐ τυγχάνων, καὶ ὅ τις εὕρεσθαι λαβὼν ἐκ τοῦ πλάσματος· τί ταῦτα, φησιν, ὦ βασιλεῦ; πῶς οὕτω σαθρῶς περὶ τοσούτου βουλεύεσθε πράγματος; τίς ὁ μηνύτης ἐστί σοι σῖτος, καὶ ὁ περιττὸς φόρτος, ὁ τῆς

γ. δύσμαχον ἀνανδρίας διδάσκαλος; οὐδὲν γάρ [d] οὕτως ἐπίμαχον καὶ φιλόνεικον, ὡς γαστὴρ, καὶ τὸ ἐν χερσὶν ἔχειν τὴν σωτηρίαν. ἀλλ' εἴ γε ἐμοὶ πείθῃ, τὸ μὲν ναυτικὸν τοῦτο χαίρειν ἐάσεις, καὶ τὴν ἑπομένην ἔκλειψιν τῷ γυναικείῳ τούτῳ στρατῷ· αὐτὸς δὲ δι' ἄλλης ὁδοῦ εὐπορωτέρας τε καὶ ἀσφαλεστέρας, ἧς ἐγώ σοι καθηγητής (ἔμπειρος δὲ εἴ τις ἄλλος φημὶ τῆς χώρας εἶναι τῆς Περσικῆς) ἐμβαλεῖς τε εἰς τὴν πολεμίαν, καὶ τὴν κατὰ γνώμην τυχὸν ἐπιμήξεις· ἡμᾶς δὲ τηνικαῦτα εὖ ποιήσεις, ἡνίκα ἐν ἔργῳ πεῖραν λάβῃς τῆς ἡμετέ-

---

[a] παρείκοι] Τὸ παρείκοι, ἀντὶ τοῦ, τὸ ὑποχωρεῖν τῷ ἀνθρώπῳ ἢ καὶ ἄλλῳ ζώῳ, καὶ ὑποδεχόμενον ἐν κρημνῷ τυχὸν, ἢ δυσχερείᾳ· οὕτω καὶ παρὰ τοῖς συγγραφεῦσιν. ἄλλως, ἀντὶ τοῦ ἔνθα ἂν οἱ λόφοι, καὶ τὰ στενὰ ὑποδέχοιτο αὐτούς. [b] τῆς διόδου] Δίοδός ἐστιν ἡ διὰ μέσου λόφων τινῶν ὁδὸς, ἔξοδον ἔχουσα εἰς τὸ καταντικρύ· ἡ δὲ ἔξοδον οὐκ ἔχουσα, εἴσοδος. [c] εὔνους δὲ τοῖς Ῥωμαίων) Διὰ τὸ προσκεκρουκέναι δῆλον ὅτι. οὕτω μὲν ὡς ἀρτίως εἶπον, ἡ Βαβυλὼν ἐπὶ Δαρείου, διὰ τῆς τοῦ Ζωπύρου τόλμης ἑάλω. ἐπὶ δὲ τοῦ Κύρου οὕτω. μέγα ὄρυγμα παρὰ τὸν Εὐφράτην ὁ Κῦρος ποιήσας, καὶ τὸν ποταμὸν ἐκεῖ παρατρέψας, καὶ ταύτῃ τὴν μεταξὺ τῆς πόλεως πόρον ξηράνας (διαρρεῖ γὰρ τὴν Βαβυλῶνα ὁ Εὐφράτης) δι' ἐκείνου εἰσελθὼν οὕτως εἷλε τὴν πόλιν. [d] οὕτως ἐπίμαχον) Ἀντὶ τοῦ, εὐχερὲς εἰς τὸ πολεμεῖσθαι. ἡ γαστὴρ οὖν εὐποροῦσα τροφὰς ἔχειν, καὶ τὸ ἑτοίμαν ἔχειν τὴν ἐκ τῆς τροφῆς σωτηρίαν, εὐχερῆ πρὸς τὸ πολεμεῖσθαι ποιεῖ τὸν στρατὸν, καὶ φιλόνεικον δέ. εὐπορῶν γὰρ τροφῶν οὐκ ἐγκρατεύεται, ἀλλὰ φιλονεικεῖ φαγεῖν.

ρας εὐνοίας καὶ παραινέσεως. ὡς δὲ εἶπε ταῦτα, καὶ εἰπὼν ἔπεισεν (εὔπειστον γὰρ ἡ κουφότης, καὶ τοῦ Θεοῦ μάλιστα συνελαύνοντος) ἅπαντα ἦν ὁμοῦ τὰ δεινά. ταῖς μὲν ναυσὶν εἶχε τὸ πῦρ, καὶ ὁ σῖτος οὐκ ἦν, καὶ [e] προσῆν ὁ γέλως (αὐτόχειρ γὰρ ἡ σφαγὴ σχεδόν). τὰ δὲ τῶν ἐλπίδων ψευδῆ, καὶ ὁ ὁδηγὸς συναπῆλθε ταῖς ὑποσχέσεσιν· ἐν κύκλῳ δὲ οἱ πολέμιοι, καὶ περιρρέων ὁ πόλεμος· ἥ τε πάροδος οὐ ῥᾳδία, ἡ τροφὴ δὲ οὐκ εὔπορος· ἐν ἀθυμίᾳ δὲ ὁ στρατὸς καὶ δι' ὀργῆς εἶχον τὸν βασιλέα, ἐλείπετο δὲ χρηστῆς ἐλπίδος οὐδέν· μία δὲ ὡς ἐν τοῖς παροῦσιν ἐδόκει μόνη, τῆς πονηρᾶς ἀπαλλαγῆναι βασιλείας καὶ στρατηγίας. τὰ μὲν δὴ μέχρι τούτων τοιαῦτα. τὰ δὲ ἐντεῦθεν, οὐχ εἷς λέγεται λόγος, ἄλλος δὲ ἄλλῳ συμφέρεται καὶ συντίθεται τῶν τε παρόντων ὁμοίως τῇ μάχῃ καὶ τῶν ἀπόντων. οἱ μὲν γὰρ ὑπὸ Περσῶν αὐτὸν κατηκοντίσθαι φασίν, ἀτάκτοις ἐκδρομαῖς χρώμενον, καὶ ἄττοντα τῇδε κἀκεῖσε σὺν ἐκπληξίᾳ· καὶ ὅμοιόν τι παθεῖν αὐτὸν συμβῆναι τῷ Κύρου τοῦ Παρυσάτιδος, ὃς τοῖς μυρίοις συναναβὰς ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην καὶ νεανικῶς μαχόμενος, θράσει τὴν νίκην διέφθειρεν. οἱ δὲ τοιοῦτόν τινα ἐπ' αὐτῷ διηγοῦνται λόγον· ἐπί τινα λόφον τῶν ὑψηλῶν ἀνελθὼν, ὡς ἐκ περιωπῆς τὸν στρατὸν ὅλον λαβεῖν, καὶ ὅσος ὑπελείφθη τῷ πολέμῳ μαθεῖν, ἐπειδὴ οἱ φανῆναι πολὺ τὸ πλῆθος καὶ τῆς ἐλπίδος ἀφθονώτερον, ὡς δεινὸν, εἰπεῖν, εἰ πάντας τῇ Ῥωμαίων γῇ τούτους ἐπανάξομεν, ὡς ἄν τις βασκαίνων αὐτοῖς τῆς σωτηρίας. ἐφ' ᾧ τινα τῶν στρατιωτῶν χαλεπήναντα καὶ οὐ κατασχόντα τὴν ὀργὴν, [f] ὦσαι κατὰ τῶν σπλάγχνων ἀλογήσαντα τῆς ἑαυτοῦ σωτηρίας. ὡς δὲ ἄλλοι, τῶν γελοιαστῶν βαρβάρων τινὰ τοῦτο τολμῆσαι, οἳ τοῖς στρατιώταις ἕπονται, λύπης τε ψυχαγωγία καὶ πότοις ἥδυσμα. εἰσὶ δὲ οἳ καὶ Σαρακηνῶν τινι τὸ κλέος τούτου διδόασι· πλεῖον δέχε-

γ. ἔχων

γ. τέτκ

γ. ἐμπ

[e] προσῆν ὁ γέλως] Διὰ τί προσῆν ὁ γέλως; ἐπειδὴ σχεδὸν ἑαυτὸν διεχειρίσατο Ἰουλιανὸς ἐμπρήσας τὸν σῖτον. [f] ὦσαι] Ὠθῆσαι ἐστι ῥῆμα, καὶ τὴν μέσην συλλαβὴν ὑφελόντες λέγουσιν ὦσαι· δῆλον δὲ ἐστιν ὅτι ξίφος, ὅπερ νοήσεις ἔξωθεν.

ται

ται πληγὴν καιρίαν ὄντως, καὶ πάντη τῷ κόσμῳ σωτήριον, καὶ μιᾷ "τομῇ [σφαγέως] πολλῶν [g] σπλάγχνων ἀπαιτεῖται δίκην κακῶς πιστευθέντων. ὃ καὶ θαυμάζω, πῶς πάντα γινώσκειν ὁ μάταιος ἐντεῦθεν οἰόμενος, ἐν τούτῳ τὴν κατὰ τῶν ἑαυτοῦ σπλάγχνων πληγὴν ἠγνόησεν. ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν τοῦ ἀνδρὸς, μεγίστην τῆς ἐκείνου κακοδαιμονίας ἐπὶ πολλοῖς ἔχον ἀπόδειξιν. ἔκειτο μὲν ἐπὶ τῇ ὄχθῃ τοῦ ποταμοῦ, καὶ πονηρῶς εἶχε τοῦ τραύματος. πολλοὺς δὲ εἰδὼς τῶν πρὸ αὐτοῦ δόξης ἠξιωμένων ὡς ἂν ὑπὲρ ἄνθρωπον νομισθεῖεν, τέχναις τισὶν ἐξ ἀνθρώπων ἀφανισθέντας καὶ διὰ τοῦτο θεοὺς νομισθέντας, ἔρωτι τῆς αὐτῆς δόξης ἑαλωκὼς, καὶ ἅμα "τὸν τρόπον τῆς τελευτῆς διὰ τὸ τῆς ἀβουλίας ἄδοξον αἰσχυνόμενος, τί μηχανᾶται καὶ τί ποιεῖ; (οὐδὲ γὰρ τῷ βίῳ συναναλίσκεται πονηρία) ῥίψαι κατὰ τοῦ ποταμοῦ πειρᾶται τὸ σῶμα, καὶ πρὸς τοῦτο ἐχρῆτό τισι τῶν πιστῶν ἑαυτοῦ συνεργοῖς καὶ μύσταις τῶν ἀπορρήτων· καὶ εἰ μὴ τῶν βασιλικῶν εὐνούχων τις τὸ πρᾶγμα αἰσθόμενος καὶ τοῖς ἄλλοις καταμηνύσας, μίσει τοῦ κακουργήματος τὴν ὁρμὴν διεκώλυσε, κἂν ἐφάνη τις ἄλλος τοῖς ἀνοήτοις Θεὸς νέος ἐξ ἀτυχήματος. ἀλλ᾽ ἐκεῖνος οὕτω μὲν βασιλεύσας, οὕτω δὲ στρατηγήσας, οὕτω καὶ καταλύει τὸν βίον. Διαδεξάμενος δὲ τὴν βασιλείαν εὐθὺς μετ᾽ ἐκεῖνον [h] ὁ μετ᾽ ἐκεῖνον ἀναρρηθεὶς, ἐν αὐτῷ τῷ στρατοπέδῳ πλανωμένῳ, καὶ τῇ τῶν κινδύνων ἀκμῇ ἀναγκαίως ἐπιζητούσῃ τὸν ἡγησόμενον, ἀνὴρ ἐπιφανὴς τά τε ἄλλα καὶ τὴν εὐσέβειαν, καὶ τὸ εἶδος ἀληθῶς τυραννίδος ἄξιος, τὸ μὲν εἰς χεῖρας ἰέναι Πέρσαις ἢ συνιέναι οὐδαμῶς οἷός τε ἦν (καίτοιγε ἀνδρείας καὶ

γ. τομῇ καὶ τόλμῃ [σφα.]

γ. τῷ τρόπῳ

[g] σπλάγχνων ἀπαιτεῖται] Ἀνθρωπίνων σπλάγχνων δηλονότι. θυομένων γὰρ αὐτῷ πολλῶν περὶ τοῦ πολέμου χριστιανῶν, καὶ ἡπατοσκοπίης ἐνταῦθα γινομένης, προύλεγον οἱ μάντεις ἐκ ταύτης, ὅτι ὃ νικήσει τὸν πόλεμον· καὶ ὁ μάταιος ἐπίστευσε. πιστευθέντων οὖν παρὰ Ἰουλιανοῦ κακῶς τῶν ἀνθρωπίνων δηλονότι σπλάγχνων.

[h] ὁ μετ᾽ ἐκεῖνον ἀναρρηθεὶς] Ἰοβιανὸς δεξάμενος τὴν βασιλείαν μετὰ τὸν ἀσεβέστατον Ἰουλιανὸν, ὃς συμβᾶσι τοῖς Πέρσαις μετὰ τὴν νίκην, τὸ νῦν καλούμενον νήσιμον Ῥωμαίων ὂν, ἀναγκαίως ὑπὲρ τῆς τοῦ στρατοῦ σωτηρίας Πέρσαις παρέδωκεν.

προθυμίας οὐδὲν ἐλλείπων) [i] τοῦ στρατοῦ παρεικότος τὰς χεῖρας καὶ τὰς ἐλπίδας· ἐζήτει δὲ τὴν ἀνάζευξιν, καί, ὅπως ἂν ἀσφαλῶς τύχοι ταύτης, ἐσκόπει, ὥσπερ οὐ βασιλείας, γρ. -χῃ ἀλλ' ἥττης γεγονὼς κληρονόμος. Εἰ μὲν οὖν μὴ Πέρσαι τῇ νίκῃ μετριάζοντες ([k] καὶ γὰρ νόμος οὗτος αὐτοῖς εἰδέναι μετρεῖν εὐπραγίαν) ἢ τι [l] δείσαντες ἄλλο τῶν λεγομένων, εἰς συμβάσεις ἐτράποντο, καὶ ταύτας ἀδοκήτους οὕτω καὶ φιλανθρώπους, οὐδὲν ἐκώλυε μηδὲ [m] πυρφόρον, ὅ δή φασιν, ἀπολειφθῆναι τοῦ στρατοῦ. τοσοῦτον εἶχον αὐτοὺς οἱ Πέρσαι διὰ χειρός, ἐν γῇ τε ἰδίᾳ μαχόμενοι, καὶ προσπεπηρωμένοι τοῖς γεγονόσιν. ἱκανὸν γάρ τοί τι [n] προσλαβεῖν εὐημερίας καὶ ἴσ. προλ. πρὸς τὴν ἐλπίδα τοῦ μέλλοντος. νῦν δὲ ὁ μέν, ὅπερ εἶπον, ἑνὸς ἦν τοῦ διασώσασθαι τὸν στρατόν, καὶ τὰ νεῦρα Ῥωμαίοις ἀπολιπεῖν (νεῦρα γὰρ ἦσαν, καὶ εἰ κακῶς ἔπραξαν ἀβουλίᾳ μᾶλλον τοῦ στρατηγήσαντος, ἢ σφῶν αὐτῶν ἀνανδρίᾳ) οἱ δὲ ἐπὶ ταῖς συνθήκαις ταύταις συνέβησαν ταῖς οὕτως αἰσχραῖς τε καὶ ἀναξίαις τῆς Ῥωμαίων χειρός, ἵν' εἴπω τὸ συντομώτατον. [o] ὧν εἰ [p] ἐκεῖνον ἀφεὶς τῆς αἰτίας, [q] τοῦτον καταμέμφοιτο, γρ. τὸ συντομώτερον γρ. καταμέμψαιτο,

[i] τοῦ στρατοῦ παρεικότος] Πῶς, φησιν, οὐ δυνατὸς ἦν; τοῦ στρατοῦ παρειμένου καὶ παραλελυμένου, καὶ κατὰ τὰς χεῖρας, καὶ κατὰ τὰς ἐλπίδας. [k] καὶ γὰρ νόμος] Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ περὶ αὐτῶν λέγει, ὡς ἤρχοντο τοῖς κυρίοις τῶν σωμάτων χρῆσθαι.

[l] δείσαντες ἄλλο] Καὶ ἄλλο τι φοβηθέντες, φησί. ποῖον; μὴ ἀπογνόντες οἱ Ῥωμαῖοι τὴν ἑαυτῶν σωτηρίαν ἀνδριοῦνται πλέον, καὶ τῶν ἐχθρῶν κρατήσουσι. μία γὰρ τοῖς ἡττηθεῖσι σωτηρία, τὸ μὴ προσδοκῆσαι σωτηρίαν, ἀλλ' οὕτως αὐτοῖς ἐπιπεσεῖν τοῖς κεκρατηκόσιν ὡς τεθνηξομένοις. καὶ τοῦτό τινός ἐστιν ἐνθύμημα τῶν παλαιῶν Ῥωμαίων ἀρχαίων.

[m] πυρφόρον] πυρφόρους φησὶ τοὺς ἱερέας τοὺς τὸ ἐπιβώμιον πῦρ ἀνάπτοντας. ἐν τοῖς γοῦν πολέμοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. ἐπὶ δὲ τῶν παντελῶς ἡττημένων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ, εἰώθασιν, ὑπερβολῇ χρώμενοι, οὕτω λέγειν· οὕτως ἀπώλοντο, ὥστε οὐδὲ πυρφόρος, ταὐτὸν δὲ εἰπεῖν, ἱερεὺς ὑπελείφθη τοῦ στρατοῦ. [n] προσλαβεῖν εὐημερίας] Καὶ τὸ βραχύ τι κατὰ τὸν πόλεμον εὐημερῆσαι, ἱκανόν ἐστιν ὑποθέσθαι καὶ πρὸς τὸ μέλλον ἐλπίδα μεγίστην.

[o] ὧν) Συνθηκῶν δηλονότι. [p] ἐκεῖνον] Ἰουλιανόν. [q] τοῦτον] Τὸν διαδεξάμενον δηλονότι.

λίαν

λίαν ἐστὶν ἀγνώμων ἔμοιγε λογιστὴς τῶν τότε συμβεβηκότων. οὐ γὰρ τοῦ
ἀμήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείραντος· οὐδὲ τοῦ κατασβέσαι μὴ δυ-
νηθέντος ὁ ἐμπρησμὸς, τοῦ δὲ ἀνάψαντος· καὶ τὸ τοῦ Ἡροδότου περὶ τῆς
Σαμίων τυραννίδος καιρὸς εἰπεῖν, ὅτι τοῦτο τὸ ὑπόδημα ἔρραψε μὲν
γρ. ἀπεδύσατο Ἱστιαῖος, ὑπεδύσατο δὲ Ἀρισταγόρας, ὁ τὰ τοῦ προειληφότος ὑπο-
δεξάμενος. τί λοιπὸν [ἦν] ἢ τὸ σῶμα Ῥωμαίοις ἐπιτιμηθῆναι τοῦ
δυσσεβοῦς, καίπερ οὕτω καταστρέψαντος; ἐπεὶ δὲ καὶ ἡμῖν ἐστι νεκρὸς
ὁ παρ' αὐτοῦ καταλύσας τὸν βίον, ἴδωμεν κἀνταῦθα τοῖν βασι-
λέοιν ἀμφοῖν τὸ διάφορον, εἴ τι καὶ τοῦτο φέρει πρὸς εὐδαι-
μονίαν ἢ κακοδαιμονίαν τοῖς ἀπελθοῦσιν. ὁ μὲν γὰρ παραπέμ-
πεται πανδήμοις εὐφημίαις τε καὶ πομπαῖς, καὶ τούτοις δὴ τοῖς
ἡμετέροις σεμνοῖς, ᾠδαῖς παννύχοις καὶ δᾳδουχίαις, αἷς Χριστια-
νοὶ τιμᾶν μετάστασιν εὐσεβῆ νομίζομεν· καὶ γίνεται πανήγυρις μετὰ
γρ. που πάθους ἡ ἐκκομιδὴ τοῦ σώματος. εἰ δέ που πιστὸς ὁ λόγος, καὶ
γρ. ·λει τοῦτο διεδόθη ταῖς τῶν πολλῶν ἀκοαῖς, ὅτι ἐπεὶ τὸν Ταῦρον ὑπερ-
βάλλοι τὸ σῶμα πρὸς τὴν πατρῴαν αὐτοῦ πόλιν διασωζό-
μενον (ταύτην δὴ τὴν [r] ὁμώνυμον ἐκείνοις καὶ μεγαλώνυμον)
φωνή τις ἐκ τῶν ἄκρων ἐστὶν οἷς ἐξηκούετο, οἷα ψαλλόντων τε καὶ πα-
ραπεμπόντων, ἀγγελικῶν οἶμαι δυνάμεων, [s] γέρας τῆς εὐσεβεί-
ας ἐκείνῳ καὶ ἀντίδοσις ἐπιτάφιος. καὶ γὰρ εἰ τὴν ὀρθὴν δόξαν πα-
ρακινεῖν ἔδοξεν, ἀλλὰ καὶ τοῦτο τῆς τῶν ὑποδυναστευόντων σκαιότητος καὶ κα-
γρ. ἁπαλὴν κοδοξίας τὸ ἔγκλημα, οἳ ἁπλῆν καὶ ἀπαγῆ εἰς εὐσέβειαν παραλα-
βόντες ψυχὴν, οὐ προορωμένην τὰ βάραθρα, ἀπήγαγον ἧπερ ἐβού-
γρ. ἀκριβείας λοντο, καὶ προσχήματι εὐσεβείας τὸν ζῆλον κακίας εἰργάσαντο. ἀλλ' οὖν
ἡμεῖς τὸ κοινότερον, τόν τε πατέρα ἐννοοῦντες τοῦ βαλομένου τὴν κρηπῖ-
δα τῆς βασιλικῆς τῷ Χριστιανισμῷ δυναστείας καὶ πίστεως, καὶ τὸν εἰς αὐτὸν
κατελθόντα κλῆρον τοῦ δόγματος, ἐγεραίρομεν τὰ εἰκότα τὸ σκῆνος

---

[r] ὁμώνυμον ἐκείνοις] Τὴν Κωνσταντίνου πόλιν φησὶν ὁμώνυμον ἐκείνοις Κωνσταντίνῳ καὶ Κωνσταντίῳ.

[s] γέρας] Τὴν ἀκουσμένην φησὶ φωνήν.

τοῦ δικαίᾳ βασιλείᾳ συζήσαντος, καὶ τὸν βίον καταλύσαντος ὁσίῳ τέ-
λει, καὶ τὸ κράτος ἡμῖν καταλείψαντος. ὡς δὲ πλησιάζοι τῇ μεγά-
λῃ καὶ βασιλίδι πόλει, τί δεῖ λέγειν δορυφορίας τε τοῦ στρατοῦ παν-
τὸς, καὶ [t] τάξιν ἐνόπλιον, ὡς ζῶντι τῷ βασιλεῖ γινομένην, ἢ τῆς λαμ-
πρᾶς πόλεως ἔκχυσιν ὀνομαστοτάτην τῶν πώποτε γινομένων ἢ ἐ-
σομένων; ἀλλ' ὁ θρασὺς [u] καὶ γυννάδας ἐκεῖνος, καὶ νέᾳ τῇ πορφυ-
ρίδι καλλωπιζόμενος, καὶ διὰ τοῦτο, ὡς τὸ εἰκὸς, μέγα φρονῶν,
μέρος γίνεται καὶ αὐτὸς ἐκείνης τῆς προπομπίου τιμῆς, τὴν αὐτὴν
καὶ ἀντιδιδοὺς καὶ ἀντιλαμβάνων [x] χάριν, τὸ μὲν ὑπὸ βιασθεὶς, τὸ δὲ ἑκὼν γρ. διδοὺς
ὡς λέγουσιν. ὁ γὰρ στρατὸς ἅπας, εἰ καὶ τοῦ παρόντος ἡττῆντο κρά-
τους, ἀλλ' οὖν πλεῖον τῷ κατοιχομένῳ νέμων αἰδοῦς (οὕτω καὶ γρ. πλείονος
πεφύκαμεν εὐνούστεροί πως εἶναι τοῖς ἔτι προσφάτοις πάθεσι) τῷ
φίλτρῳ προσαπάγοντες, καὶ τὸν ἔλεον τούτῳ προσάπτοντες, καὶ διὰ
τοῦτο οὐκ ἀνεχόμενοι τὸ μὴ οὐχ ὡς βασιλέα τιμηθῆναι τοῦτον [δὲ] καὶ
προσδεχθῆναι, πείθουσι τὸν ἀποστάτην καὶ συναναγκάζουσιν ὑπαν-
τῆσαι τῷ νεκρῷ μετὰ τοῦ προσήκοντος σχήματος. τὸ δὲ ἦν, ἀπο-
κοσμήσαντα τὴν κεφαλὴν τοῦ διαδήματος, καὶ ὑποκύψαντα τῷ
βασιλεῖ τὰ εἰκότα, οὕτως ἐπὶ τὸν τάφον συμπαραπέμψαι τοῖς ἄ-
γουσι, καὶ τὸν ἀοίδιμον τῶν ἀποστόλων σηκὸν, οἳ δὴ τὸ ἱερὸν γένος καὶ ὑ-
πεδέξαντο, καὶ διαφυλάττουσι μακροῦ τὰ ἶσα γέρα καρπούμενον.
οὕτως ὁ ἡμέτερος. τῷ δὲ αἰσχρὰ μὲν τὰ τῆς ἐκστρατείας (ἠλαύνετο
δήμοις καὶ πόλεσι καὶ φωναῖς [y] δημοσίαις, καὶ [z] βωμολόχοις, ὧν ἔτι καὶ

[t] τάξιν ἐνόπλιον] Ὁ μὲν ἀνὴρ ἔνοπλος, ἡ δὲ πρᾶξις ἐνόπλιος, οἷον ὄρχησις ἐνόπλιος, τάξις ἐνόπλιος. [u] καὶ γυννάδας] Τί δεῖ λέγειν τὸ καὶ τό; ἀλλ' Ἰουλιανὸς αὐτὸς, ὁ ἄρτι τυραννήσας μᾶλλον, ἢ βασιλεύσας, ἀπαντήσας καὶ αὐτὸς προέπεμπε.

[x] χάριν] Βασιλικὴν τιμὴν τῷ κατοιχομένῳ διδοὺς, βασιλικὴν ἀντελάμβανε μετὰ τῆς ἀλουργίδος τὸ σῶμα παραπέμπων. [y] δημοσίαις] Βλασφημούσαις αὐτὸν καὶ καταρωμέναις αὐτῷ. καὶ μάλιστα οἱ Ἀντιοχεῖς πολλὰ εἰς αὐτὸν ἀπέσκωπτον.

[z] βωμολόχοις] Βωμολόχους λέγομεν τοὺς εὐτελεῖς καὶ πένητας· τουτέστι, τοὺς περὶ τὸν βωμὸν λοχῶντας καὶ προσκαθεζομένους αὐτῷ, ἵνα τις εὐποιήσῃ αὐτοῖς διδοὺς τι πρὸς τὴν ἀναγκαίαν τροφήν. βωμολόχοι δὲ καὶ οἱ ὄρνιθες οἱ τὸν βωμὸν περιϊπτάμενοι, καί τι κρέας ἀπὸ τῶν ἐντόμων ἁρπάζοντες, οἷον κόρακες, ἰκτῖνες, καὶ τὰ τοιαῦτα τῶν ὀρνέων. ἡ λέξις οὖν ἐπὶ τῶν εὐτελῶν λέγεται.

νην

τὴν ἧς πολλοὶ μνημονεύουσιν) ἀδοξοτέρα δ' ἡ ἐπάνοδος. Τίς δ' ἡ ἀδοξία; [a] μῖμοι γελοίων ἦγον αὐτὴν, καὶ τοῖς ἀπὸ τῆς σκηνῆς αἰσχεσιν ἐπομπεύετο, καταυλούμενός τε καὶ κατορχούμενος, καὶ τὴν ἄρνησιν, καὶ τὴν ἧτταν, καὶ τὸ τέλος ὀνειδιζόμενος, καὶ τί γὰρ οὐ πάσχων κακόν; τί δ' οὐκ ἀκούων, οἷς οἱ τοιοῦτοι νεανιεύονται, τέχνην τὴν ὕβριν ἔχοντες, ἕως ἡ Ταρσέων αὐτὸν ὑποδέχεται) πόλις, οὐκ οἶδ' ὅπως καὶ αὐτὴ ὅτου τὴν ὕβριν ταύτην κατακριθεῖσα; ἔνθα δ' οἱ τέμενος ἄτιμον, καὶ ὁ [b] τάφος ἐξάγιστος, καὶ [ναὸς] ἀπόπλυστος, καὶ οὐδὲ θεατὸς εὐσεβῶν ὄψεσι.

χ. καταλυόμενος

χ. ὑπεδέχετο

Καὶ ταῦτα διῆλθον, ὡς μέγιστα τῶν ἐκείνου κατηγορημάτων καὶ κυριώτατα, οὐκ ἀγνοῶν ὅτι [c] δυσὶ μὲν καὶ τρισὶ τῶν περὶ τὰ βασίλεια κολάκων, καὶ τὴν ἀσέβειαν ὁμοτίμων (τοὺς γὰρ ἄλλους ἑκὼν παρίημι) τοσοῦτος ἐδόθη τῆς ἀσεβείας μισθὸς, ὥστε οὐδὲν ἐκώλυεν ἐντὸς ὀλίγου χρόνου πᾶσαν αὖθις ἂν λῃίσασθαι τὴν ὑπὸ Ῥωμαίοις [γῆν τε καὶ θάλασσαν] εἰ μὴ θᾶττον πέρας ἐδόθη τοῖς πράγμασι δεξιόν. τοσοῦτον ὑπερέβαλλον ληστείᾳ καὶ ἀπληστίᾳ τὸν πρὶν ἑκατοντάχειρας. αἱ δὲ τῶν ἐθνῶν ἀρχαὶ οὐ τοῖς ἐπιεικεστάτοις, ἀλλὰ τοῖς ἀπανθρωποτάτοις ἐνεχειρίζοντο, καὶ μία ψῆφος ἦν εἰς ἀρχὴν ἡ παράβασις, καὶ τὸ τυχεῖν τῶν παρ' ἐκείνου δωρεῶν τὸ τὰ κάκιστα περὶ ἑαυτῶν [καὶ τῶν ἄλλων] βουλεύσασθαι. Τί δαὶ εἰ λέγοιμι δικῶν μεταθέσεις, καὶ μετακλίσεις διὰ μέσης νυκτὸς πολλάκις, μεταβαλλομένων καὶ περι-

χ. ὡς

χ. ἑκατὸν χεῖρας.

χ. δ' ἂν

χ. μεσούσης

ἀλλ. πάσης

---

[a] μῖμοι γελοίων] Περιηχοῦντο, φησι, τοῦ λειψάνου τοῦ δυσσεβοῦς Ἰουλιανοῦ οἱ ἀπὸ τοῦ θεάτρου αὐληταὶ, καὶ ὀρχησταὶ, ὥσπερ ἦν ἄξιον. ἐπομπεύετο τοίνυν καταυλούμενος καὶ κατορχούμενος, καὶ διὰ τὴν ἄρνησιν τῆς πίστεως καὶ διὰ τὴν ἧτταν τοῦ πολέμου.

[b] τάφος ἐξάγιστος] Τὸ ἄγος πάντοτε ἐπὶ κακοῦ λαμβάνεται τοῦ μύσους· ἁγιστεία δὲ, καὶ ἁγιστεύειν ἐπὶ τοῦ καθαροῦ καὶ ἁγίου. ἁγιστεύει ἀντὶ τοῦ, καθαρεύει.

[c] δυσὶ καὶ τρισὶ] Οὐκ ἀγνοῶν ὅτι μείζω ἂν εἰργάσατο τῇ πολιτείᾳ κακὰ, εἰ μὴ ταχέως ὁ Θεὸς αὐτὸν ἐξέκοψεν. εἶχε γὰρ περὶ αὐτὸν πιστοὺς τινὰς ἀσεβεῖς καὶ ἀθέους, οἳ ταχέως ἂν τὴν πολιτείαν ἐδῄωσαν, εἰ μὴ τὰ πράγματα ταχεῖαν ἔλαβε τῶν λυπούντων ἀπαλλαγήν.

περιπολίων

τρεπομένων, ὥσπερ *[d] ἀμπώτιδας· ἐπεὶ καὶ δικάζειν ὁ γεννάδας ἠξίου, πάντα ἑαυτοῦ διὰ φιλοτιμίαν ποιούμενος. τάχα δὲ ἂν μικρολογίαν ἐγκαλεῖν δόξαιμι, καὶ τὰ μέγιστα τοῖς μικροῖς καθυβρίζειν. πλὴν γε ὁμολογείσθω, ὅτι οὐκ [e] Ἠλυσίων πεδίων ἄξια ταῦτα, οὐδὲ τῆς Ῥαδαμάνθυος ἐκεῖσε δόξης, ἧς μοίρας ἀξιοῦσιν ἐκεῖνον (1) τῆς αὐτῆς στρατείας [τε] καὶ τάξεως. ἓν τοῦτο ἐκείνου θαυμάζειν ἔχω. πολλοὺς γὰρ τῶν αὐτοῦ συνήθων τε καὶ γνωρίμων, ἐκ τῶν κατὰ τὴν Ἀσίαν διατριβῶν μάλιστα, ἐκάλει μὲν κατὰ πᾶσαν σπουδήν, ὡς δράσων θαυμάσια οἷα, καὶ ταῖς ἐλπίσιν ἐπῆρεν, μεμνημένους τῶν ὑποσχέσεων. ἐπεὶ δὲ ἦρξεν, τοῦτ' ἐκεῖνο αἱ τῶν ψήφων κλοπαί, καὶ τῶν ὄψεων ἀπάται. τοὺς μὲν τόνδε τὸν τρόπον, τοὺς δὲ τόνδε διαπαίζων, ἔστι δὲ οὓς καὶ τραπέζῃ φιλοφρονούμενος, καὶ πολὺ τὸ [f] Ἑταῖρε, προπίνων, καὶ λαρυγγίζων ἀντ' ἄλλου τινὸς δελεάσματος, ἀπράκτους ἀπέπεμπεν, οὐκ ἔχοντας ὅπῃ μέμψωνται πλέον, ἐκείνῳ τῆς ἀ-

* φασὶ

γρ. ὁμολογείτωσαν.

[d] ἀμπώτιδας·) Ἄμπωτις, ὡς ἤδη εἴρηται, ἐναντία ἐστὶ τῇ ῥοθίῳ. ταῦτα δὲ πάθη ἐστὶ θαλάττης στενῆς περικλειομένης ἢ ὑπὸ νήσων, ἢ ὑπὸ γωνιῶν. ἄμπωτις δέ ἐστιν, ὅτι ἡ ἀνάπωτις καὶ ἀναρρόφησις ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς τινας τῆς ὑποκειμένης γῆς, καὶ μετ' ὀλίγον πάλιν * ἐκφυσῶντος. τὸ μὲν ἓν ὑποσταλῆναι λέγεται ἄμπωτις, τὸ δὲ πάλιν ἐκρεῦσαι λέγεται ῥαχία. τοῦτο δὲ γίνεται πολλάκις τῆς ἡμέρας, καὶ μάλιστα ἐὰν πνέῃ ἄνεμος. πάσχει δὲ τοῦτο ὁ περὶ τὴν Ἑλλάδα Εὔριπος, ὃς καὶ εἴρηται ἀπὸ τοῦ εὐτρέπεσθαι οἱονεὶ εὔτρεπτος καὶ εὐχερῶς πίπτων.

[e] Ἠλυσίων) Ὥσπερ ὁ χριστιανικὸς λόγος ὑπογράφει τινὰ παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑποτιθέασί τινα χωρίον, ὃ καλοῦσι μακάρων νήσους. καλοῦσι δὲ αὐτὸ Ἠλύσιον πεδίον, παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. ὁ δὲ Ῥαδάμανθυς υἱὸς τοῦ Διὸς δικαστὴς ἐν ᾅδου, τοὺς μὲν ἁμαρτάνοντας παρὰ τὸν Κώκυτον καὶ τὸν Πυριφλεγέθοντα πέμπει· τοὺς δὲ ἀγαθοὺς εἰς τὰς μακάρων νήσους.

[f] Ἑταῖρε] Ὁ Πλάτων καὶ οἱ φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους καλοῦσιν, οἱονεὶ φίλους· ὁ δὲ Ἰουλιανὸς ὡς φιλοσοφήσας, οὐκ ἀπαυθαδίζεται τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς φιλοσόφους ἑταίρους πάντας καλῶν· καὶ πολὺ τοῦτο τὸ ὄνομα ἐν ταῖς συνουσίαις αὐτοῦ. τὸ δὲ προπίνω, τοῦτό ἐστι· πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες πάνδημον ἑορτήν, ἐν χρυσαῖς φιάλαις ἢ ἀργυραῖς κιρνωμέναις, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί, ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος, καὶ τότε παρεῖχον ᾧ ἂν ἐβούλοντο χαριζόμενοι τὴν κύλικα. τοῦτο δὲ ἦν σύμβολον φιλίας πολλῆς. καὶ τοῦτο μὲν ἐκαλεῖτο προπίνειν. ἡ δὲ ἡμέρα φιλοτησία. τὸ δὲ λαρυγγίζειν μίμησίς ἐστι φωνῆς, ὅταν τις τερπόμενος οἷς λέγει, ὅτι --ησι-- πως τῇ φωνῇ, καὶ στενοῖ αὐτήν.

πάτης, ἢ σφίσιν αὖθις τῆς κουφότητος. ἐκεῖνο δὲ πῶς οὐκ ἐπαινετὸν τῆς τοῦ φιλοσόφου παιδεύσεως, ὅτι τοσοῦτον ἀόργητος ἦν καὶ τῶν παθῶν ὑψηλότερος (κατὰ τοὺς τῶν πώποτε βασιλέων ἀτρέπτους καὶ

γρ. ... ἀκινήτους, καὶ μηδὲ ἂν εἴ τι γένοιτο, τοὺς προσώπου τι παρατρέψαντας ἢ πάθους ἴχνος ἐπισημήναντας) αὐτοῦ, ὅτι μὴ βοᾶν καὶ σεισμοῦ ἐμπλήσειν τὰ βασίλεια δικάζων, ὥσπερ αὐτὸς ὢν ὁ τυπτόμενος καὶ ζημιούμενος, οὐκ ἄλλοις ταῦτα πάσχουσιν ἐπαμύνων· ταῦτα μὲν οὐδὲ λόγου τινὸς ἀξιώσομεν. τοῦτο δὲ τίς ἀγνοεῖ τῶν ἁπάντων,

γρ. οἱ ὅτι πολλοὺς προσιόντας αὐτῷ δημοσίᾳ καὶ τῶν ἀγεννεστέρων, ὥστε τυχεῖν τινος ὧν ἂν δέοιντο βασιλέων δέον), παίων πὺξ δημοσίᾳ καὶ λὰξ ἐναλλόμενος, οὕτω διετίθει κακῶς, ὥστ᾽ ἀγαπᾶν ἐκείνους τὸ μή τι παθεῖν χαλεπώτερον. τὰς δὲ φυσήσεις τε καὶ ἀντιφυσήσεις, ἃς ὁ θαυμάσιος ἐκεῖνος καὶ τὰ ἡμέτερα διασύρων τοῖς δαιμονίοις ἀντεπεδείκνυτο τὸ ἐπιβώμιον πῦρ ἀναπτῶν, ποῦ λόγου

ἴσ. ἦ θήσομεν; ἢ καὶ λίαν γε τοῦ Ῥωμαίων βασιλέως τὰς γνάθους ὁρᾶν ἀσχημονούσας, καὶ γέλωτα πολὺν παρεχούσας, οὐ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ αὐτοῖς, οἷς ταῦτα ποιῶν ἀρέσκειν ᾤετο. τὴν Ἀθηνᾶν δὲ οὐκ ἤκουε τὴν ἑαυτοῦ θεόν, ὅτι τοῖς αὐλοῖς κατηράσατο, οἷς ἐνασχημονοῦ-

γρ. κατέμαθεν σαν ἑαυτὴν κατεμάνθανεν, αὐτὴ ἐσόπτρῳ χρησαμένη τῷ ὕδατι; τὰς δὲ περιπόσεις τε καὶ φιλοτησίας, ἃς δημοσίᾳ ταῖς πόρναις προὔπινέ τε καὶ ἀντιπροὐπίνετο, ἀποκλέπτων τὸ ἀσελγὲς μυστηρίου προσχήματι, πῶς οὐ θαυμάζειν ἄξιον; ταῦτα τοῖς μὲν ἄλλοις ἡ πεῖ-

γρ. περιλαβοῦσα ρα παρέστησε καὶ ἡ δυναστεία προσλαβοῦσα τὴν ἐξουσίαν· ἐμοὶ δὲ καὶ πόρρωθεν τρόπον τινὰ ἑωρᾶτο, ἐξ οὗ τῷ ἀνδρὶ συνεγενόμην Ἀθήνησιν. ἦλθε γὰρ κἀκεῖσε, ἄρτι τῶν κατὰ τὸν ἀδελφὸν αὐτοῦ νεωτερισθέντων, τὸν βασιλέα τοῦτο αὐτὸ παραιτησάμενος. διττὸς δὲ αὐτοῦ τῆς ἐπιδημίας ὁ λόγος· ὁ μὲν εὐπρεπέστερος καθ᾽ ἱστορίαν τῆς Ἑλλάδος καὶ τῶν ἐκεῖσε παιδευτηρίων· ὁ δὲ ἀπορρητότερος καὶ οὐ πολλοῖς γνώριμος, ὥστε τοῖς ἐκεῖ θύταις καὶ ἀπατεῶσι περὶ τῶν καθ᾽ ἑαυτὸν συγγενέσθαι, οὔπω παρρησίαν ἐχούσης τῆς ἀσεβείας. τότε τοίνυν οὐ φαῦλος ἐγὼ

τοῦ ἀνδρὸς εἰκαστὴς οἶδα γενόμενος, καίτοιγε οὐ τῶν εὖ πεφυκότων
περὶ ταῦτα εἷς ὤν· ἀλλ' ἐποίει με μαντικὸν ἡ τοῦ ἤθους ἀνωμαλία
καὶ τὸ περιττὸν τῆς ἐκστάσεως, εἴπερ μάντις ἄριστος, ὅστις εἰκά-
ζειν οἶδε καλῶς. οὐδενὸς γὰρ ἐδόκει μοι σημεῖον εἶναι χρηστοῦ, αὐ- γρ. εἰκάζει καλ.
χὴν ἀπαγὴς, ὦμοι παλλόμενοι καὶ ἀνασηκούμενοι, ὀφθαλμὸς σο- γρ. ἀνασκιρτώμενοι,
βούμενος καὶ περιφερόμενος καὶ μανικὸν βλέπων, πόδες ἀστατοῦν-
τες καὶ μετοκλάζοντες, μυκτὴρ ὕβριν πνέων καὶ περιφρόνησιν, προ-
σώπου σχηματισμοὶ καταγέλαστοι τὸ αὐτὸ φέροντες, γέλωτες ἀ- γρ. φρονοῦντες
κρατεῖς τε καὶ βρασματώδεις, νεύσεις καὶ ἀνανεύσεις σὺν οὐδενὶ λόγῳ,
λόγος ἱστάμενος καὶ κοπτόμενος πνεύματι, ἐρωτήσεις ἄτακτοι καὶ γρ. περικοπτ.
ἀσύνετοι, ἀποκρίσεις οὐδὲν τούτων ἀμείνους, ἀλλήλαις ἐπεμβαίνου-
σαι καὶ οὐκ εὐσταθεῖς οὐδὲ τάξει προϊοῦσαι παιδεύσεως. τί ἂν
καθ' ἕκαστον γράφοιμι; τοῦτον πρὸ τῶν ἔργων ἐθεασάμην, ὃν καὶ γρ. τοῦτον
ἐπὶ τῶν ἔργων ἐγνώρισα. καὶ εἴ μοι παρῆσάν τινες τῶν τηνικαῦτα γρ. οἷον
συνόντων καὶ ἀκουσάντων, οὐ χαλεπῶς ἂν ἐμαρτύρησαν· οἷς, ὅπως
ταῦτα ἐθεασάμην, εὐθὺς ἐφθεγξάμην, οἷον κακὸν ἡ Ῥωμαίων
τρέφει, καὶ προαγορεύσας, καὶ γενέσθαι ψευδόμαντις ἐμαυτοῦ γρ. προαγ.
κατευξάμενος. κρεῖσσον γὰρ, ἢ τούτων πλησθῆναι τὴν οἰκουμένην κακῶν, γρ. κατευξάμην.
καὶ τοιοῦτον ἀναφανῆναι τέρας, οἷον οὔπω πρότερον, πολλῶν μὲν ἐπι- γρ. τοιούτων
κλυσμῶν θρυλλουμένων, πολλῶν δὲ ἐμπρησμῶν καὶ βρασμῶν γῆς καὶ
χασμάτων, ἔτι δὲ ἀνδρῶν ἀπανθρώπων καὶ θηρίων ἀλλοκότων τε καὶ συν-
θέτων, ὧν ἡ φύσις ἐκαινοτόμησε. ταύτῃ τοι καὶ τέλος ἄξιον ἠνέγκατο τῆς
ἀπονοίας, ἐν τούτῳ μόνον οὐκ ἀναμενομένου τοῦ Θεοῦ τῆς συνήθους μακροθυ-
μίας, ἔνθα πολλοῖς κακὸν ἦν τὸ φιλάνθρωπον, καὶ πολλὴν μὲν ἔμελλε
προξενεῖν ἀθυμίαν τοῖς κατορθοῦσι, πολλὴν δὲ τοῖς ἁμαρτάνουσι κα-
ταφρόνησιν, ὡς οὐκ ἐφορῶντος οὐδενὸς τὰ ἡμέτερα, οὐδὲ οὔσης τι-
νὸς κυβερνήσεως ἢ ἀντιδόσεως, ἀλλὰ τοῦ αὐτομάτου τὸ πᾶν φέ- γρ. ἀνταποδόσεως,
ροντός τε καὶ περιτρέποντος· ὃ ἐξ ἀνοίας ἐστὶ πονηρᾶς καὶ λίαν ἐπισφα-
λῶς περὶ τῶν μεγίστων διακειμένης. ταῦτα τῶν Γαλιλαίων ἡμῶν, ταῦτα
τῶν ἀτίμων τὰ διηγήματα, ταῦτα οἱ τὸν ἐσταυρωμένον προσκυνοῦντες

ἡμεῖς

ἡμεῖς, ταῦτα τῶν ἁλιέων μαθηταὶ καὶ τῶν ἀπαιδεύτων, ὡς αὐτοὶ λέγουσι, ταῦτα οἱ τοῖς γραϊδίοις συγκαθεζόμενοι καὶ συμψάλλοντες, ταῦτα οἱ ταῖς μακραῖς νηστείαις ἐκτετηγμένοι καὶ ἡμιθνῆτες, ταῦτα οἱ μάτην ἀγρυπνοῦντες ἡμεῖς καὶ ταῖς παννυχίοις στάσεσι παραληροῦντες, καὶ ὑμᾶς καταβάλλοντες. ποῦ εἰσιν οἱ γραμματικοί; ποῦ εἰσιν οἱ σύμβουλοι; (ἐκ τῶν παρ' ἡμῖν τινος ἀσόφων, ὡς γοῦν ὑμῖν δοκεῖ, λαμβάνω τὸ ἐπινίκιον) ποῦ αἱ θυσίαι καὶ τελεταὶ καὶ μυστήρια; ποῦ σφάγια φανερά τε καὶ ἀφανῆ; ποῦ τέχνη κατὰ τῶν ἐντόμων ἐπινοουμένη; ποῦ τερατεῖαι προγνώσεως καὶ σημεῖα ἐπαστριμύθων; ποῦ Βαβυλὼν ἡ ἔνδοξος θρυλλουμένη, καὶ οἰκουμένη πᾶσα περινοουμένη δι' ὀλίγου καὶ ἐναγοῦς αἵματος; ποῦ δὲ οἱ ἐν τῇ χειρὶ κρατούμενοι Πέρσαι καὶ Μῆδοι; ποῦ δὲ οἱ προπεμπόμενοι, καὶ παραπέμποντες, καὶ προπέμποντες, καὶ προπολεμοῦντες, καὶ συμπολεμοῦντες θεοί; ποῦ αἱ κατὰ Χριστιανῶν μελέται καὶ ἀπειλαί, καὶ ἡ κατὰ προθεσμίαν κατάλυσις ἡμῶν μέχρις ὀνόματος; οἴχεται πάντα, διέψευσται, διερρύηκεν, ὄναρ ἐφάνη τῶν ἀσεβῶν τὰ κομπάσματα. ὁ μὲν δὴ οὖν τοῦ Ἰούδα βασιλεὺς Ἐζεκίας, ἐλθόντος ἐπ' αὐτὸν δυνάμει πολλῇ τῶν ἀλλοφύλων τινὸς βασιλέως, καὶ στρατοπέδῳ κυκλώσαντος τὴν Ἱερουσαλήμ, λόγους τε βλασφήμους — δ. Βασ. ιη.
καὶ ἀσεβεῖς κατά τε τοῦ βασιλέως καὶ αὐτοῦ τοῦ Θεοῦ πικρῶς ἀπορρίψαντος, ὡς οὐδ' ἂν ὁπωσοῦν γένηται, περισώσοντος ἐκ τῆς αὐτοῦ δυναστείας τὴν πόλιν, ἐπὶ τὸ ἱερὸν ἐλθὼν καὶ τὴν ἐσθῆτα περιρρηξάμενος, δακρύων τε προχέων πηγάς, καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας, τὸν Θεὸν τῆς Σεναχηρεὶμ βλασφημίας ἐπιμαρτύρεται, κἀκεῖνον ἔκδικον γενέσθαι τῆς τῶν ἀπειλουμένων ὑπερηφανίας ἐπιζητεῖ· εἶδες Κύριε, λέγων, ὅσα ὠνείδισέ σε ὁ ἀλλόφυλος οὗτος τὸν Θεὸν τοῦ Ἰσραήλ· εἶδες Κύριε, μὴ παρασιωπήσῃς. καὶ οὐκ ἐψεύσθη γε τῆς αἰτήσεως, ἀλλ' ᾔσθετο ἔργῳ τῆς ἑαυτοῦ μανίας ὁ θεομάχος, καὶ ἀπῆλθεν ἄπρακτος μετὰ τῶν ἀπειλῶν, ὑπό τινος ἀοράτου δυνάμεως ἐπιπεσούσης ἄφνω, καὶ τὸ πολὺ τῆς στρατιᾶς ἀποβαλών, καὶ ἀγγελία πικρᾷ μειδιάσας ἀδοκήτως λυούσῃ καὶ τὴν πολιορκίαν καὶ τὰς ἐλπίδας. ταῦτα Ἐζεκίας ὁ τὴν πολλὴν πε-

γρ. ἐπινοουμένη

 ριβεβλημένος

βεβλημένος δύναμιν, ὁ τῆς μεγάλης βασιλεὺς Ἱερουσαλήμ, ὁ τὰ χρυσᾶ ἐν ἀποκρυσάμενος καὶ δι' ἑαυτοῦ τὸν πολέμιον. ἡμεῖς δὲ, οἷς μόνον καὶ ὅπλον, καὶ τεῖχος, καὶ ἄλλο πᾶν ἀμυντήριον, ἡ πρὸς τὸν Θεὸν ἐλπὶς ὑπελείπετο, πάσης ἀνθρωπίνης περιῃρημένοις καὶ περικεκομμένοις ἐπικουρίας παντάπασι, τίνα ἄρα ἔμελλεν ἢ τῆς εὐχῆς ἀκροατὴν, ἢ κωλυτὴν τῶν ἀπειλουμένων ἕξειν ἐμέλλομεν, ἢ τὸν ὀμνύοντα κατὰ τῆς Ἰακὼβ Θεὸν ὑπερηφανίας; ὢ τῶν ἀπίστων διηγημάτων· ὢ τῆς τῶν ἐλπιζομένων θρασύτητος. ἐπηγγέλθημεν αὐτῷ ἄλλου τινὸς ἱερεῖς τοῖς δαίμοσι, καὶ ἡ μεγάλη τοῦ Θεοῦ κληρονομία, τὸ ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα, μιᾶς ἄθλον ἐλπίδος, καὶ ἑνὸς πολέμου νικητήριον ἐγινόμεθα. ταῦτα Χριστιανοῖς παρὰ σοῦ, ἀνθ' ὧν ἐσώθης δι' αὐτῶν κακῶς, τὰ ἐπίχειρα; ταῦτα Κυρίῳ τῷ Θεῷ [σου] ἀνταπέδωκας; πρότερον μὲν οὖν ἠνείκα ἐπ' αἰεί χε καὶ ἀνεβάλλετο τὴν ὑπὲρ ἡμῶν ὀργὴν ὁ Θεὸς, καὶ οὔπω πάντα τὸν ἑαυτοῦ ζῆλον ἐξέκαιεν, ἀλλ' ὑψηλὴν ἔτι κατὰ τῶν ἀσεβῶν εἶχε τὴν χεῖρα, καὶ τὸ τόξον ἐνέτεινε μὲν καὶ ηὐτρέπιζε, κατεῖχε δὲ βίᾳ, καὶ ὥσπερ τι νόσημα ὕπουλον καὶ κακόηθες ἐκραγῆναι πρὸς τὸ ἔξω τὴν ὅλην αὐτῶν τὴν πονηρίαν ἀνέμενεν (ὅσπερ δὴ Θεοῦ κρίσεως νόμος, ἵν' ἢ σώσῃ τῇ μετανοίᾳ, ἢ κολάσῃ) δικαιότερον) τότε μὲν δυσανασχετοῦντες τοῖς γινομένοις, καὶ πρὸς τὸ μέλλον κάμνοντες (οὐ γὰρ ἐφέρομεν τὴν ἀποκρυπτομένην αὐτοῦ τοῖς οἰκείοις χρηστότητα) ἐκείνας ἠφίεμεν πρὸς τὸν Θεὸν τὰς φωνὰς, τὰ μὲν ὡς δεσπότην ἐπικαλούμενοι, τὰ δὲ ὡς πρὸς πατέρα χρηστὸν ποτνιώμενοι, τὰ δὲ οἷον ὀνειδίζοντες καὶ δικαιολογούμενοι πρὸς αὐτὸν, οἷα τὰ τῶν ἀλγούντων· Ἵνα τί ἀπώσω ὁ Θεὸς εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; καὶ, Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἣν περιεποιήσω τοῖς τοῦ μονογενοῦς λόγου σου πάθεσιν, ἐν τῇ μεγάλης σου διαθήκης ἠξίωσας, καὶ ἣν εἵλκυσας εἰς οὐρανοὺς τῷ καινῷ μυστηρίῳ καὶ τῷ ἀρραβῶνι τοῦ πνεύματος· καὶ, Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὑπέμεινες ὅσα ἐπονηρεύσαντο κατὰ τῶν ἁγίων σου οἱ ἐχθροὶ, καὶ κατὰ τῆς ἑορτῆς σου ἐκαυχήσαντο. τὴν ῥομφαίαν τι προεκδεχόμεθα, καὶ τὰς Αἰγυπτιακὰς μάστιγας, καὶ δικά-

σας

Margin notes: γρ. πόλεμον. — Ἀμὼς ε. ζ. — γρ. ἐπηγγελμένων — Ψαλ. ογ. — Ψαλ. λθ. — γρ. ὑπομιμνήσκοντες — ἀλλ. ὑπομιμνήσκοντες — ἴσ. ὑπομιμνήσκων

σαι τὴν ἑαυτοῦ δίκην ἠξιοῦμεν, καὶ διαναστῆναί ποτε διεκελευόμεθα κατὰ
τῶν ἀσεβῶν· Ἕως πότε ἁμαρτωλοί, Κύριε, λέγοντες, ἕως πότε ἁ- Ψαλ. λδ'.
μαρτωλοὶ καυχήσονται, τόν τε λαόν σου ταπεινώσουσι, καὶ τὴν κληρονομίαν
σου κακώσουσι, φθέγξονταί τε ὁμοίως ἀνομίαν, καὶ δράσουσι; καὶ μὴν κα-
κείνας ἐπὶ ταῖς ἱεραῖς καὶ τύπων οἰκειοτέρας φωνάς· Ἔθου ἡμᾶς εἰς Ψαλ. οθ'.
ἀντιλογίαν καὶ ὕβριν τοῖς γείτοσιν ἡμῶν, παραβολήν τε τοῖς ἔθνεσι, καὶ
γέλωτα πᾶσιν ἀνθρώποις. ἄμπελόν τέ τινα ἐλέγομεν, καὶ ἐξ Αἰγύ-
πτου μετηνέχθημεν, τῆς σκοτεινῆς ἀθείας, καὶ εἰς κάλλος πίστεως αὐξη-
θείσης καὶ μέγεθος, εἶτα τὸν φραγμὸν περιῃρημένην, τὴν φρουρὰν τέως Ψαλ. ο.
ἡμᾶς ἐπισκοποῦσαν τοῦ Θεοῦ, πᾶσί τε τοῖς διοδεύουσιν ἐκκειμένην πο-
γρ. καὶ πᾶσι — γρ. κυμαινομένην
νηραῖς δυνάσταις, καὶ λελυμασμένην ἀγρίῳ συΐ, τῷ τὴν κακίαν ἰ-
διάζοντι πονηρῷ καὶ κακίας βορβόρου γέμοντι. ταῦτα μὲν οὖν πρό-
τερον καὶ διενοούμεθα καὶ ἀνεβόων πρὸς τὸν Θεόν· νυνὶ δὲ οἵας ἀνθ' οἵων
μεταλαμβάνω φωνάς; θρηνῶ λοιπὸν τῶν ἀσεβῶν τὴν ἀπώλειαν, καὶ
γίνομαι φιλάνθρωπος τοῖς μισοῦσι, καὶ τοιαῦτα φθέγγομαι· πῶς ἐ-
γένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν
αὐτῶν, ὡς κονιορτὸς ὃν ὑφείλατο λαῖλαψ, ὡς χνοῦς ὑπ' ἀνέμου διερ-
γρ. βολὴ
ῥιπτούμενος, ὡς ἑωθινὴ δρόσος, ὡς ῥοῖζος πεμφθέντος βέλους, ὡς προ-
* μεταβληθεῖεν καὶ χ. αἰνή μαντις
σβολὴ βροντῆς, ὡς ἀστραπὴ διέπτησαν. εἰ μὲν οὖν νῦν γοῦν * μεταπει-
σθεῖεν, καὶ τῆς πολλῆς παυσάμενοι πλάνης καὶ μέθης, μεταδιώξαιεν τὴν
ἀλήθειαν, τάχα ἄν τι γένοιτο κέρδος αὐτοῖς καὶ τοῦ πτώματος, ἐπεὶ καὶ
τὸ παιδεύεσθαι πολλάκις εἰς καλὸν τοῖς πάσχουσιν. εἰ δ' ἐπὶ τῆς αὐτῆς
γρ. ἐμμένοιεν
μένοιεν γνώμης, καὶ περιέχοιντο τῶν εἰδώλων ἔτι, μηδέ, ὃ καὶ τοὺς ἠλι-
θίους παιδεύει, μὴ σωφρονισθεῖεν τῇ συμφορᾷ, τὴν μὲν Ἱερουσαλὴμ Θρήν. β.
θρηνοῦντος τοσοῦτον Ἱερεμίας, ὥστε καὶ τοῖς ἀψύχοις διακελεύεσθαι θρηνεῖν, καὶ
τῶν τειχῶν προσκαλεῖται δάκρυον· τούτοις δέ τις εὑρεθήσεται θρήνους ἐ-
πάξιος; ἢ τίς ἂν ὀδύροιτο τὰ παρόντα, ἀφεὶς τὰ τῆς μελλούσης δακρύ-
ων κολάσεως, ἀνθ' ὧν ἠφρονεύσαντο καὶ ἐμακρύνθησαν, καὶ ἐλάτρευσαν
τῇ κτίσει παρὰ τὸν κτίσαντα· οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς λατρεύουσι τῷ
Θεῷ ἐπεμάνησαν, καὶ χεῖρα ἐπεξετείναντο δυσσεβῆ καὶ ποίου παγκάκων

 ἀξίαν;

ἀξίαν; τοῦτο μὲν οὔπω, ὅπῃ τῷ Θεῷ φίλον, οὕτως ἐχέτω. τίς οἶδεν εἰ ὁ λύων τοὺς πεπεδημένους θεοὺς, καὶ ἀνάγων ἐκ τῶν πυλῶν τοῦ θανάτου τὸν βαρύ τε καὶ κάτω νεύοντα, ὁ μὴ βουλόμενος τὸν ἁμαρτωλοῦ τὸν θάνατον, ἀλλὰ τὴν ἐπάνοδον, ὁ καὶ ἡμᾶς "καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου φωτίσας καὶ συνετίσας, καὶ τούτους ποτὲ ἀναλήψεται καὶ ποιμανεῖ τῇ ποιμαντικῇ ῥάβδῳ, τὴν βαρεῖαν καὶ σιδηρᾶν καταθέμενος; ἐμοὶ δὲ πάλιν πρὸς τὸν αὐτὸν ἐπινίκιον ἀναδραμεῖται ὁ λόγος. ἔπεσε Βὴλ, συνετρίβη Δαγὼν, ἕλη ἐγένετο ὁ Σαρὼν, κατησχύνθη ὁ Λίβανος, οὐκέτι οὐ μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν, τῷ ἀκινήτῳ καὶ ἀναισθήτῳ τῶν εἰδώλων συντάγματι· οὐδὲ ζητήσουσι μυῖαν Θεὸν Ἀκκαρὼν, ἢ εἴ τι ταύτης ἐστὶ γελοιότερον, οὐκέτι τὰ ἄλση περινοστήσουσι καὶ τὰ ὑψηλὰ, καὶ πᾶν ὄρος "εὔκομον καὶ κατάσκιον, οὐκέτι μὴ θύσουσι τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις, ὅπερ πάλαι ὁ Ἰσραὴλ ὑπὸ τῶν προφητῶν ὠνειδίζετο. ἀλλὰ τί τούτων ἐμοί; πρὸς τὰ παρόντα καὶ ἡμέτερα τρέψομαι. οὐκέτι τοῖς ἱεροῖς οἴκοις ἡμῶν "πονηροῖς ἐμβλέψουσιν, οὐκ ἔτι μιανοῦσιν αἵματι "μιαρῷ τὰ τῆς καθαρωτάτης καὶ ἀναιμάκτου θυσίας ἐπώνυμα θυσιαστήρια, οὐδὲ βωμοῖς ἀθέοις τὰ ἄβατα καταισχυνοῦσιν· οὐκ ἔτι συλήσουσι καὶ βεβηλώσουσιν ἀναθήματα, πλεονεξίαν ἀσεβείᾳ μίξαντες· οὐκέτι καθυβρίσουσι πολιὰν "ἱερέων, σεμνότητα διακόνων, αἰδῶ παρθένων· οὐκέτι σπλάγχνοις ἁγίων ἀνατμηθέντων ἐπαφήσουσι συῶν μιαρίαν, ἵν' ὁμοῦ τε τῆς τροφῆς καὶ τῶν σπλάγχνων ἐμφορηθῶσιν· οὐκέτι προσάξουσι πῦρ μαρτύρων μνήμασιν, ὡς ἄλλων ἐφέξοντες ἄθλησιν ταῖς κατ' αὐτῶν ἀτιμίαις· οὐκέτι πυρὶ καταμαλώσουσιν ἁγίων λείψανα "ὅσοις ἀτιμοτάτοις συνατιμάσαντες, καὶ τοῖς ἀνέμοις δώσουσιν, ἵνα καὶ τῆς ὀφειλομένης τιμῆς τοῖς τοιούτοις ἀποστερήσωσιν· οὐκέτι καθέδραι λοιμῶν συγκροτήσαντες, ταῖς κατ' ἐπισκόπων καὶ πρεσβυτέρων, ἐπὶ δὲ προφητῶν καὶ ἀποστόλων, καὶ αὐτοῦ τοῦ Χριστοῦ βλασφημίαις ἐντρυφήσουσιν· οὐκέτι πανηγυρίσουσι καθ' ἡμῶν, νόμῳ τῆς κιβ-

Ψαλμ. ϛε.

γρ. καθεζομένους

γρ. εὔδρομον

γρ. -ρὸν

γρ. ἀκαθάρτῳ

γρ. πρεσβυτέρων,

γρ. ὀστέοις

δήλου

δήλου παιδεύσεως ἀποκλείσαντες, ὡς ὁμοῦ τούτῳ καὶ τὰς γλώσσας ἡμῶν ἐμφράξοντες. δός μοι τὰς λέξεις σου, τοὺς βασιλικούς τε καὶ σοφιστικούς, τοὺς ἀφύκτους συλλογισμούς σου καὶ τὰ ἐνθυμήματα· ἴδωμεν οἷα καὶ παρ' ἡμῖν οἱ ἁλιεῖς ἄγροικοι φθέγγονται. μετάστησον ἦχον ᾠδῶν σου καὶ ψαλμὸν ὀργάνων σου, διακελεύεταί σοι προφήτης ἐμός. ᾀδέτω δὲ αὖθις Σιὼν ἐλευθερία Δαβίδ, ὁ τὸν ὑψηλὸν Γολιὰθ λίθοις μυστικοῖς καταβαλών, ὁ διὰ τῆς πραότητος νικήσας πολλούς, καὶ διὰ τῆς πνευματικῆς ἁρμονίας θεραπεύσας Σαοὺλ τὸν τῷ πονηρῷ δαίμονι συμπνιγόμενον. σβεσάτω δὲ πῦρ ὁ δᾳδοῦχος· ἁπτέτωσαν τῷ νυμφίῳ αἱ φρόνιμοι καὶ ἱεραὶ παρθένοι τὰς ἑαυτῶν λαμπάδας. ἀποθέσθω τὴν πορνικὴν ὁ ἱεροφάντης στολήν, οἱ ἱερεῖς ἐνδύσασθε δικαιοσύνην, καὶ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας, καὶ τὸν μέγαν καὶ ἄραφον χιτῶνα Χριστὸν τὸ ἡμέτερον κόσμημα. σιγάτω σὸς κῆρυξ τὰ ἄτιμα, φθεγγέσθω κῆρυξ ἐμὸς τὰ ἔνθεα· παῦσόν σου τὰς γοητικὰς καὶ μαντικὰς βίβλους, αἱ προφητικαὶ δὲ καὶ ἀποστολικαὶ μόναι ἀνελιττέσθωσαν· ἐπίσχες σου τὰς αἰσχρὰς καὶ σκότου γεμούσας νύκτας, ἀντιγράφω τὰς ἱερὰς ἐγὼ καὶ λαμπρὰς παννυχίδας· φράξον τὰ ἄδυτά σου καὶ τὰς εἰς ᾅδου φερούσας ὁδούς, ἐγὼ τὰς φανερὰς καὶ φερούσας πρὸς οὐρανὸν ἐξηγήσομαι. πόσα ταῦτα κατέπραξεν ἂν ὅπλων παρασκευαὶ καὶ μηχανημάτων ἐπίνοιαι, πόσαι μυριάδες ἀνδρῶν καὶ φάλαγγες, ὅσα ἱκετεύοντες μόνον ἡμεῖς, καὶ Θεὸς βουληθεὶς, κατειργάσατο; λόγῳ τὸ σκότος ἔλυσε, λόγῳ τὸ φῶς ὑπεστήσατο, ἥδρασε γῆν, ἐγύρωσεν οὐρανόν, ἀστέρας ἔταξεν, ἔσπειρεν ἀέρα, θάλασσαν ὥρισε, ποταμοὺς εἵλκυσε, ζῶα ἐψύχωσεν, ἄνθρωπον πρὸς ἑαυτὸν ἐμόρφωσε, κόσμον τοῖς ἅπασι προσέθηκε· λόγῳ καὶ τὴν νῦν σκοτομαινίαν λύσας εἰς φῶς ἄπαντα καὶ τάξιν καὶ ἁρμονίαν τὴν αὐτὴν ἐπανήγαγεν. οὐκ ἔτι μὲν λίχνοι καὶ ἀπατηλοὶ δαίμονες δυναστεύουσιν· οὐκ ἔτι δὲ καθυβρίζεται κτίσις ἐν σχήματι τιμῆς, ἀντὶ Θεοῦ προσκυνουμένη. κατάβαλε τοὺς Τριπτολέμους σου, καὶ τοὺς

Κελεούς,

γρ. τούτοις

γρ. φθέγξ.

α. Βασ. ιζ.

α. Βασ. ις

Ματθ. κε.

Ψαλμ. ρλα.

γρ. Χριστοῦ

γρ. σκότους

γρ. κατεπράξαντο

γρ. ὑπέστησεν

Κρῆτας, καὶ τοὺς μυστικοὺς δράκοντας· αἰσχύνθητί ποτε ταῖς τοῦ θεο-
λόγου σου βίβλοις Ὀρφέως· δέξαι τοῦ κηλεδοῦ τὸ δῶρον τὴν ἀσχη- γρ. ἀσχημοσύνην
μοσιώνην σοι συγκαλύπτοντος. εἰ δὲ ταῦτα μῦθοι καὶ πλάσματα,
ἐγώ σου τὰ τῆς νυκτὸς ἀποκαλύψω μυστήρια. Οὐκ ἔτι φθέγγεται
δρῦς, οὐκ ἔτι λέβης μαντεύεται, οὐκ ἔτι Πυθία πληροῦται, οὐκ οἶδ᾽
ὧντινων, πλὴν μύθων καὶ λήρων μεστή. πάλιν ἡ Κασταλία σεσίγη-
ται καὶ σιγᾷ, καὶ ὕδωρ ἐστὶν οὐ μαντευόμενον, ἀλλὰ γελώμενον. πά-
λιν ἀνδριὰς ἄφωνος ὁ Ἀπόλλων. πάλιν ἡ Δάφνη φυτόν ἐστι μύθῳ
θρηνούμενον. πάλιν ἀνδρόγυνος ὁ Διόνυσος, καὶ χορὸς μεθυόντων γρ. χορῶν
ἐξηρτημένος, καὶ τὸ μέγα σου μυστήριον ὁ Φάλλος, καὶ Περσεφόνῃ τῷ
καλῷ θεὸς παρθενοφθόρος. πάλιν Σεμέλη κεραυνοῖς βάλλεται. πά-
λιν ἀμφιγυήεις Ἥφαιστος, ἀλλὰ ταχὺς εἰς μοιχῶν εὕρεσιν, καὶ θε-
ὸς κατηθαλωμένος, εἰ καὶ κλυτοτέχνης, καὶ Θερσίτης Ὀλύμπιος.
πάλιν δεσμώτης Ἄρης διὰ μοιχείαν μετὰ τοῦ Δείμου, καὶ τοῦ Φόβου,
καὶ τὴν Κυδοιμὸν, καὶ τραυματίας διὰ θρασύτητα. πάλιν Ἀ-
φροδίτη πόρνη γυμνουμένη τε αἰσχρῶς, καὶ γάμων αἰσχρῶν ὑπηρέτις.
πάλιν Ἀθηνᾶ παρθένος τέ ἐστι, καὶ τίκτει δράκοντα. πάλιν Ἡρα-
κλῆς μαίνεται, μᾶλλον δὲ μαινόμενος πέπαυται. πάλιν τὰ πάντα
γέγονε δι᾽ ἀσέλγειαν καὶ ἀκαθαρσίαν ὁ Ζεὺς, ὁ τῶν θεῶν μήστωρ καὶ γρ. μήστωρ
ὕπατος, καὶ μόνος μετὰ πάντα σειρῶν πᾶσι τοῖς οὖσιν ἀνέλκων θεοὺς, αὐ-
τὸς δὲ ὑπὸ πάντων οὐ καθελκόμενος. πάλιν τοῦ Διὸς τάφος ἐν
τῇ Κρήτῃ δείκνυται. ἂν ἴδω σου τὸν Κερδῷον, καὶ τὸν Λόγιον καὶ
Ἐναγώνιον, συγκαλύπτω τοὺς ὀφθαλμοὺς, καὶ παραπέτασμα ἔχω σου τὴν γρ. συγκαλύπτω
θεὸν αἰδοῖ τοῦ θεάματος. σὺ δέ μοι περισκόπει τὸ σύντονον τοῦ λό-
γου, καὶ τὸ σακέλλιον ἕν σου μόνον αἰδέσιμον, αἱ παρὰ Αἰγυπτίοις δι᾽
ἀνδρογύνων τιμαὶ τοῦ Νείλου, αἵ τε Ἴσιδες, καὶ οἱ Μενδήσιοι θεοὶ,
καὶ οἱ Ἄπιδες, τά τ᾽ ἄλλα τε, ὅσα πλάττεις ἢ γράφεις, θηρία σύνθε-
τα καὶ ἀλλόκοτα. γελῶ σου τὸν Πᾶνα, καὶ τὸν Πρίαπον, καὶ τὸν Ἑρ-
μαφρόδιτον, καὶ τοὺς ὑπὸ μανίας περιπλεκομένους ἢ διεσπασ-
μένους θεούς. ἀλλὰ ταῦτα μὲν τῇ σιωπῇ παρήσω, καὶ τοῖς κοσμου-

σιν

γρ. αὐτοὺς σιν αὖθις ποιητάς· ἐγὼ δὲ εἰς παραίνεσιν ἵνα καταλύσω τὸν λό-
γον. ἄνδρες ὁμοῦ καὶ γυναῖκες, νέοι τε καὶ πρεσβῦται, ὅσοι τε εἰς
τὸ βῆμα τοῦτο τελεῖτε, καὶ ὅσοι τὴν κάτω τετάχθε χώραν, πάντες
ὅσους ἐλυτρώσατο Κύριος, πρότερον μὲν ἐκ τῆς πλάνης καὶ τῆς
ἀθεΐας, νυνὶ δὲ τῆς ἐπαναστάσεως τῶν ἐθνῶν, καὶ τῶν ἤδη γε πα-
ρόντων κακῶν καὶ προσδοκωμένων, ἀκούσατε λόγον ἀνδρὸς οὐ με-
τρίως τὰ τοιαῦτα πεπαιδευμένου ἔκ τε τῶν ὁσημέραι συμβαινόν-
γρ. βιβλίων των, καὶ τῶν παλαιῶν ἱστοριῶν καὶ βίβλων καὶ πράξεων. μέγα μὲν τὸ
μηδενὸς πειραθῆναι τῶν δυσχερῶν· ἴσως δὲ οὐδὲ μέγα, εἴπερ ἀ- Παρ. γ'.
ληθὴς ὁ λόγος, ὅτι ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα Εβ. ιβ'.
υἱὸν ὃν παραδέχεται, καὶ οὗ κήδεται. ἀλλὰ μέγα μὲν τὸ μηδὲ τὴν
ἀρχὴν τυχεῖν διαμαρτόντας, ἢ μὴ τὰ μέγιστα· ἐπεὶ τὸ παν-
τελῶς ἀναμάρτητον ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἔταξεν ὁ
Θεός· δεύτερον δὲ, ὡς ἔμοιγε δοκεῖ, τὸ πταίσαντάς τι καὶ παι-
δευθέντας, εἶτα ἐπιμεληθέντας, ἐν αἰσθήσει γοῦν διαμεῖναι τῆς
παιδαγωγίας, καὶ φεύγειν δευτέραν ἐκ δευτέρας κακίας
μάστιγα. τοιγάρτοι καὶ ἡμεῖς ἔργῳ τῆς θείας παιδεύσεως ἐπαι-
σθώμεθα· δείξωμεν ἡμᾶς αὐτοὺς ἀξίους οὐχ ὧν πρότερον πεπόνθαμεν,
ἀλλ᾽ ὧν ὕστερον τετυχήκαμεν. ἀπολογησώμεθά τι περὶ τῆς καταρρούσης
ἡμᾶς συμφορᾶς, ὅτι οὐχ ὡς κακοῦργοι τοῖς ἔθνεσι παρεδόθημεν,
ἀλλ᾽ ὡς παῖδες ἐσωφρονίσθημεν. μὴ ἐπιλαθώμεθα τῆς ζάλης
ἐν τῇ γαλήνῃ, μηδὲ τῆς ἀρρωστίας ἐν τῷ καιρῷ τῆς ὑγιείας, μηδὲ
τῆς αἰχμαλωσίας ἀνασωθέντες εἰς τὴν Ἱερουσαλήμ, μηδὲ τῆς
Αἰγύπτου μετὰ τὴν Αἴγυπτον. μὴ ποιήσωμεν ἀμείνω τὸν τῆς
κακοπαθείας καιρὸν τοῦ τῆς ἀνέσεως· ποιήσομεν δὲ, εἰ φαινοίμεθα
γρ. ἰαθέντες ποτὲ μὲν συνεσταλμένοι καὶ μετριάζοντες, καὶ πάσας εἰς οὐρανὸν ἀ-
γρ. ἐπαιρόμενοι νατείνοντες τὰς ἐλπίδας, νυνὶ δὲ ἐπαιρόμενοι καὶ χαυνούμενοι, καὶ
πάλιν εἰς τὰς αὐτὰς ἀνατρέχοντες ἁμαρτίας, ἐξ ὧν εἰς τὰς συμ-
πεσούσας ἡμῖν συμφορὰς ἀπηνέχθημεν. μὴ οὕτω τέκνα, μὴ, λέγει
που νουθετῶν ὁ ἱερεὺς Ἠλεὶ τοὺς ἑαυτοῦ παῖδας εἰς Θεὸν ἁμαρτά-

νοντας· ἀλλ' εἰδότες ὅτι ῥᾷόν ἐστιν ὑπεραξίαν ἀπελθοῦσαν ἀνακαλέσασθαι, ἢ παραγινομένην ἐκ Θεοῦ διασώσασθαι (τὴν μὲν γὰρ τὸ σωφρονεῖν ἐπανάγει, τὴν δὲ διαλύει τὸ ῥᾴθυμον) καὶ ὅτι τὰ σώματα κάμνοντα μὲν ταῖς θεραπείαις ἀναφέρει καὶ ταῖς ἐνδείαις, ἀνενεγκόντα δὲ ταῖς κατὰ μικρὸν ἀμελείαις καὶ ταῖς πλησμοναῖς πάλιν [g] ὑπορρεῖ, καὶ πρὸς τὰς αὐτὰς ἀρρωστίας ἐπάνεισι· ταῦτα εἰδότες, καὶ ἀλλήλους διδάσκοντες, γενώμεθα ἡμῶν αὐτῶν, καὶ σωφρόνως τὸν καιρὸν διαθώμεθα. πρῶτον μὲν, ἀδελφοί, πανηγυρίσωμεν, μὴ φαιδρότητι σώματος, μηδὲ ἐσθῆτος ἐξαλλαγαῖς καὶ " πολυτελείαις, μηδὲ [h] κώμοις καὶ μέθαις, ὧν κοίτας καὶ ἀσελγείας γρ. ποικιλίαις
τὸν καρπὸν ἔμαθες, μηδὲ ἄνθεσι [i] στεφώμεν ἀγυιάς, μηδὲ μύρων αἰσχύναις τραπέζας, μηδὲ πρόθυρα καλλωπίσωμεν, μὴ τῷ αἰσθητῷ φωτὶ καταλαμπέσθωσαν αἱ οἰκίαι, μηδὲ [k] συναυλίαις καὶ κρότοις " ἁρμονείτωσαν (ἔθος μὲν γὰρ Ἑλληνικῆς [l] " ἱερομηνίας ὁ νόμος) ἡμεῖς δὲ μὴ τούτοις τὸν Θεὸν γεραίρωμεν, μηδὲ τὸν παρόντα καιρὸν ἐπαίρωμεν, οἷς οὐκ ἄξιον, ἀλλὰ ψυχῆς καθαρότητι, καὶ διανοίας φαιδρότητι καὶ λύχνοις τοῖς ὅλον τὸ σῶμα φωτίζουσι τῆς ἐκκλησίας, θείοις λέγω θεωρήμασι καὶ νοήμασιν ἐπὶ τὴν ἱερὰν λυχνίαν ἐξηρτημένοις, καὶ πᾶσαν τὴν οἰκουμένην καταλάμπουσι. μικρόν μοι πρὸς τοῦτο τὸ φῶς πάντα ὅσα ἰδίᾳ τε καὶ δημοσίᾳ πανηγυρίζοντες ἀνάπτουσιν ἄνθρωποι. ἔχω [m] τι καὶ μύρον, ἀλλ' ᾧ χρίονται μόνον ἱερεῖς τε καὶ βασιλεῖς; ὅτι ποικίλῳ τε καὶ πολυτελεῖ, καὶ δι' ἡμᾶς κενωθέντι, μεγάλου μυρεψοῦ μεγάλῃ τέχνῃ σύγ-

γρ. περιηχείσθωσαν

γρ. ἱερομανίας

[g] ὑπορρεῖ] Ἀντὶ τοῦ, πίπτει καὶ μαραίνεται. εἴρηται γὰρ ἀπὸ μεταφορᾶς τῶν ἀνθῶν. [h] κώμοις] Κωμάζειν ἐστὶ μετὰ μέθης αἰσχρῶς ᾄδειν. κῶμος δὲ τὸ ὄνομα.

[i] στεφώμεν] Ῥόδοις τυχὸν, ἢ κρίνοις, ἢ μυρρίναις, ἢ λωτῷ, ἢ δάφνῃ.

[k] συναυλίαις] Συναυλία ἐστὶν ἡνίκα δύο ἢ καὶ πλείους αὐληταὶ συναυλοῦσιν ἅμα, εἴτε ὅμοιον, εἴτε διάφορον· ὁ μὲν κλάζων, ὁ δὲ κέρατι, ὁ δὲ τῷ χαλκῷ ἐναυλεῖ. λέγομεν δὲ συναυλίαν, καὶ κιθάρας ἅμα συγκρουομένης αὐλῷ καὶ συνφθεγγομένης.

[l] ἱερομηνίας] Τὰς νουμηνίας οἱ Ἕλληνες ἱερομηνίας ἐκάλουν κυρίως. καταχρηστικῶς δὲ καὶ τὴν ἑορτήν. [m] τι καὶ μύρον.] Τὸν Χριστόν. μύρον γὰρ ἐκκενωθὲν τὸ ὄνομα αὐτοῦ.

κείμενον.

κείμενον. [n] Εἴθε μοι γένοιτο τούτου τοῦ μύρου τὴν εὐωδίαν προσδέξασθαι τῷ Θεῷ. ἔχω καὶ τράπεζαν τὴν πνευματικὴν ταύτην καὶ ἔνθεον, ἣν ἡτοίμασέ μοι Κύριος ἐξ ἐναντίας τῶν θλιβόντων με, ᾗ προσαναπαυόμενος καὶ τρυφῶν, οὐδὲν ἐξυβρίζω διὰ τῶν κόρων, ἀλλὰ καὶ κοιμίζω πάσας παθῶν ἐπαναστάσεις. ἔχω δὲ ἄνθη πάντων ἐαρινῶν ἀνθηρότερά τε καὶ εὐωδέστερα, τοῦ ἀγροῦ τοῦ πλήρους, ὃν εὐλόγησε Κύριος, τοὺς ἱεροὺς καὶ εὐώδεις ποιμένας καὶ διδασκάλους, καὶ τοῦ λαοῦ ὅσον καθαρόν τε καὶ ἔκκριτον. τούτοις στεφανωθῆναι βουλόμενος [o] καὶ πομπεύειν τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, καὶ τὸν δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, κατὰ τὸν ἱερὸν Ἀπόστολον. ἀναλάβωμεν ὕμνους ἀντὶ τυμπάνων, ψαλμῳδίαν ἀντὶ τῶν αἰσχρῶν [p] λυγισμάτων τε καὶ ᾀσμάτων, κρότον εὐχαριστήριον ἀντὶ κρότων θεατρικῶν καὶ χειρῶν πρᾶξιν εὔηχον, [q] σύννοιαν ἀντὶ γέλωτος, ἀντὶ μέθης ἔμφρονα λόγον, ἀντὶ θρύψεως σεμνοπρέπειαν. Εἰ καὶ ὀρχήσασθαι δεῖ σε ὡς πανηγυριστὴν καὶ φιλέορτον, ὄρχησαι μέν, ἀλλὰ μὴ τὴν Ἡρωδιάδος ὄρχησιν τῆς ἀσχήμονος, ἧς ἔργον Βαπτιστοῦ θάνατος, ἀλλὰ τὴν Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ, ἣν

γρ. εὐανθέστερά τε καὶ μονιμώτερα,

γρ. ἱερεῖς

γρ. λογισμῶν,

[n] εἴθε μοι] Κἀμοὶ γένοιτο, ὀψὲ γοῦν καὶ μόγις, διὰ τῶν σῶν εὐχῶν, ἅγιε πάτερ, ἐπειδὴ πάντα δυνατὰ τῷ Θεῷ. [o] καὶ πομπεύειν] Πομπεύειν καὶ ἐπὶ καλοῦ λέγεται καὶ ἐπὶ κακοῦ. ἐπὶ καλοῦ μέν, ἡνίκα τῆς ἑορτῆς οὔσης προϊόντες ἐπ᾽ ἀγορᾶς βαδίζωμεν, εἰς τιμὴν κεκοσμημένοι τῆς πανηγύρεως. ἐπὶ κακοῦ δέ, ὡς ὅταν ἐν τῇ πομπῇ τοῦ Διονύσου οἱ Ἕλληνες ἐφ᾽ ἁμαξῶν προϊόντες ἀλλήλους ἔλεγον κακῶς, καὶ πρὸς τὸ μὴ αἰσχυνθῆναι, προσωπεῖα, λέγοντες, ἐφόρουν οἱ πλεῖστοι. ἐντεῦθεν καὶ πομπεύειν λέγομεν, τοὺς φαῦλόν τι δράσαντας, καὶ διὰ τῆς ἀγορᾶς μεθ᾽ ὕβρεως ἀγομένους. [p] λυγισμάτων] Λύγισμά ἐστι θηλυδριώδης μετὰ τοῦ ἀκκίζεσθαι καὶ θρύπτεσθαι γινομένη τῶν ἀσέμνων ὁμιλία. καὶ λυγίζεσθαι μέν ἐστι, τὸ τεχνικῶς ὀρχεῖσθαι καὶ θρύπτεσθαι, ἤτοι τοῖς μέλεσι καὶ τῇ φωνῇ κατακλώμενον ἀκκίζεσθαι. θρύπτεσθαι δέ ἐστι τὸ ἄνευ φωνῆς καὶ τέχνης ἀκκίζεσθαί τε καὶ κατακλᾶσθαι τοῖς τοῦ σώματος μέλεσιν. εἴρηται δὲ ἀπὸ τοῦ λύγου. λύγος δὲ λέγεται παροξυτόνως τὸ ἱμαντῶδες φυτόν· ὁ γοῦν λυγίζων στρέφεται, καθὰ καὶ τὸ φυτὸν ἐκεῖνο, ἀκκιζόμενος καὶ θρυπτόμενος. εὔδηλον δὲ ὡς ὀξυνόμενον τὸ λυγρὸς ὄνομα σημαίνει ποιητικῶς τὸν ὄλεθρον. λύγος δὲ εἴρηται καὶ παθητικὴ φωνή· λυγίζεται, ἀντὶ τοῦ στρέφεται αἰσχρῶς καὶ ὀρχηστικῶς. [q] σύννοιαν] Ἰσοκράτης ἡμᾶς ἐδίδαξε τίς ὁ σύννους, καὶ τίς ὁ σκυθρωπός· ὅτι ὁ μὲν κατηφὴς ἀεὶ καὶ αὐθάδης, ὁ δὲ σύννους ὁ διὰ παντὸς προσέχων ἑαυτῷ καὶ συνιών, ἔν τε τῷ προσέχειν ἑαυτῷ τὸν νοῦν συνάγων.

ἡγουμένη τῆς εὐκινήτου καὶ πολυτρόπου κατὰ Θεὸν πορείας ἐστὶ μυστήριον. τοῦτο μὲν δὴ τοῦτο καὶ μέγιστον τῆς ἐμῆς [r] παραινέσεως. δεύτερον δὲ χαλεπὸν μὲν οἶδα λέγων ἐρῶν καὶ δυσπαραδέκτον τοῖς πολλοῖς (φιλεῖ γὰρ ἐν ἐξουσίᾳ τοῦ ἀντιδρᾶν κακῶς γενόμενος ἄνθρωπος, ἄλλως τε δὲ, κἂν δικαίαν ἔχῃ τὴν ὀργὴν ἐξ ὧν πέπονθεν, ἥκιστα λόγου πείθεσθαι χαλινοῖς τοῦ θυμοῦ ἀνακόπτοντος) ἀκουσθῆναι δὲ ὅμως καὶ προσδεχθῆναι ἄξιον. μὴ ἀπλήστως χρησώμεθα τῷ καιρῷ, μὴ κατατρυφήσωμεν τῆς ἐξουσίας, μὴ πικροὶ γενώμεθα τοῖς ἠδικηκόσι, μὴ, ὧν κατέγνωμεν, ταῦτα πράξωμεν, ἀλλ᾽ ὅσον φυγεῖν τὰ δεινὰ τῆς μεταβολῆς ἀπολαύσαντες, ὅσον εἰς ἀντίδοσιν ἥκει μισήσωμεν. αὐτάρκης δίκη τοῖς γε μετρίοις ὅ τε τῶν λελυπηκότων δέος, καὶ τὸ προσδοκῆσαι ταῦτα παθεῖν, ὧν εἰσιν ἄξιοι, καὶ οἰκείῳ συνειδότι βασανισθῆναι. ἃ γάρ τις ὡς πεισόμενος δέδοικε, ταῦτα πέπονθε, κἂν μὴ πάθῃ καὶ πλείω τάχα ἑαυτοῦ τυχὸν, ἢ τῶν δρασάντων κολάζεται. μὴ γρ. αὐτῷ
τοίνυν θελήσωμεν τὴν ὀργὴν μετρηθῆναι, μηδὲ φανῶμεν ἐλάττους [s] κολάσαι τῆς ἀξίας· ἀλλ᾽ ἐπειδὴ τὸ μὲν εἰσπράξασθαι μὴ δυνάμεθα, τὸ μὲν συγχωρήσωμεν. γενώμεθα τούτῳ κρείττους τῶν ἠδικηκότων, καὶ ὑψηλότεροι. δείξωμεν τί μὲν διδάσκουσιν ἐκείνους οἱ δαίμονες, τί δὲ ἡμᾶς ἐκπαιδεύει Χριστὸς, ὃς οἷς πέπονθε τὸ εὐδόκιμον ἔχων, οὐχ ἧττον νενίκηκεν οἷς δυνάμενος οὐ πεποίηκεν. ἓν ἀ- γρ. εὐδοκιμεῖν
ποδῶμεν τῷ Θεῷ χαριστήριον, αὐξήσωμεν χρηστότητι τὸ μυστήριον, εἰς τοῦτο τῷ καιρῷ χρησώμεθα· νικήσωμεν ἐπιεικείᾳ τοὺς τυραννήσαντας. γρ. κατὰ χρ.
καὶ μάλιστα μὲν φιλανθρωπία ἔστω τὸ συγχωρεῖν, καὶ ἡ τῆς ἐντολῆς δύναμις τὴν ἴσην ἀντιδιδοῦσα φιλανθρωπίαν ἡμῖν ἐν οἷς αὐτοὶ χρηματίζομεν (ᾧ γὰρ μέτρῳ μετρούμεθα ἀντιμετρεῖσθαι γινώσκομεν) εἰ δὲ καὶ λίαν τις πικρῶς ἔχει, ἀφῶμεν Θεῷ τοὺς λε-

---

[r] παραινέσεως] Τὸ ἑορτάζειν νοητῶς, ἀλλὰ μὴ κατὰ τοὺς ἄφρονας αἰσθητῶς.

[s] κολάσαι] Ἀντὶ τοῦ, κολάσωμεν αὐτοὺς μετροῦμεν τὴν κόλασιν, φησιν, ἐν ᾧ μὴ κολάσαι κατ᾽ ἐξουσίαν ἰσχύσαμεν, ἐάσωμεν οὖν --- ἔστ᾽ αὐτὰ κολάζεσθαι τοὺς ἐχθροὺς τῷ συνειδότι πληττομένους κατὰ τὴν τραγῳδίαν· ἡ σύνεσις γὰρ ἀπόλλυσι τὰ δεινὰ εἰργασμένον.

λυπηκότας

λυπηκόσι καὶ τῷ ἐκεῖθεν δικαστηρίῳ· μηδὲν τῆς μελλούσης ὀργῆς διὰ τῆς ἡμετέρας χειρὸς ἐλαττώσωμεν, μὴ δημεύσεσιν ἐννοήσωμεν, μὴ βήμασι παραστήσωμεν, μὴ πατρίδος ὑπερορίσωμεν, μὴ μάστιξιν αἰκισώμεθα, μηδέ τι τῶν ὅσα πεπόνθαμεν, ἵν' εἴπω [τι] συντόμως, δράσωμεν. ποιήσωμεν κἀκείνους ἐπιεικεστέρους, ἂν ἄρα δυνατόν, τῷ καθ' ἡμᾶς ὑποδείγματι. εἴ τῳ πέπονθεν υἱός, εἴ τῳ πατήρ, εἴ τῳ γυνή, συγγενής, φίλος, ἢ ἄλλος τις τῶν τιμίων, πᾶσι τὸ παθεῖν ἔμμισθον καταστήσωμεν διὰ τοῦ [t] πεῖσαι φέρειν καρτερῶς ἃ πεπόνθασι. τοῦτο μεῖζον αὐτοῖς ἢ ἄλλο τι χαριούμεθα. εἴπω καὶ τὸ μέγιστον ὧν εὖ πάσχομεν; δήμοις καταβοῶνται καὶ πόλεσιν οἱ διώξαντες, ἐν θεάτροις, ἐν ἀγοραῖς, ἐν συλλόγοις. τὰ παλαιὰ μακαρίζεται, τὰ νέα στηλιτεύεται καὶ παρ' αὐτῶν τῶν συνδιωξάντων, ὃ καὶ παράδοξον. αὐτοὶ καθέλκονται παρ' αὐτῶν μετὰ πάσης καταβοήσεως οἱ θεοί, ὡς πολλὴν αὐτοὺς ἀπατήσαντες χρόνον, καὶ οὐδέ ποτε τῆς ἀπάτης ἐληλεγμένης· καὶ ὁ χθὲς προσκυνητής, σήμερον ὑβριστής. τούτων τί μεῖζον ἐπιζητοῦμεν; νῦν ταῦτα, καὶ ἴσως μικρὰ τοῖς ἀθλίοις· ἔσται καιρός, ἡνίκα ὄψομαι τοὺς ἐμοὺς ὑβριστάς, καὶ τὸν μέγαν τούτων καθηγητὴν τὴν ἑαυτῶν ἀποκλαιομένους κακίαν, ἡνίκα ἂν πᾶσα κρίνηται καὶ βασανίζηται πονηρία. ἐῶ τὰ θεῖα καὶ τὰ ἡμέτερα, καὶ τὰς καθ' ἡμᾶς ἐκεῖθεν ἀποκειμένας μάστιγας· ἀλλὰ καὶ ἐπὶ τοὺς σοὺς ἐλθὲ λόγους καὶ φόβους, οὐ ποιηταῖς μόνοις, ἀλλὰ καὶ ἀνδράσι φιλοσόφοις ἀρέσκοντας· τοὺς Πυριφλεγέθοντάς σου, καὶ τοὺς Κωκυτούς, καὶ τοὺς Ἀχέροντας, οἷς ἀδικίαν κολάζουσι Τάνταλος, Τιτυός, Ἰξίων· Ἰουλιανὸς τούτοις, ὁ βασιλεὺς ὑμῶν, τῆς φατρίας μετ' ἐκείνων [u] ἀριθμηθήσεται καὶ πρό γε ἐκείνων, κατά γε τὸν ἐμὸν λόγον καὶ ὅρον, οὐ δίψῃ κολαζόμενος ἐν λίμναις ἐπι-

Marginal notes: γ. [illegible] — γ. -σόμεθα. — γ. καθ' ἡμῶν ἐπαναστάσεις καὶ καθ' ἡ. ἐκ. ἀποκειμ. μ. — γ. καὶ τοὺς σοὺς δῆλα δὴ λ. — γ. μόνον — γ. καὶ — γ. κατά γοῦν

[t] πεῖσαι] Διὰ τοῦ πεῖσαι τοὺς πεπονθότας ἔτι ζῶντας, δῆλον ὅτι, φέρειν καρτερῶς, ἃ πεπόνθασι. [u] ἀριθμηθήσεται] Οὕτως ἡ φράσις, μετ' ἐκείνων ἀριθμηθήσεται καὶ πρὸ ἐκείνων ὁ Ἰουλιανός· οὐ τῷδε καὶ τῷδε κολαζόμενος, ἀλλ' ὀψόμεθα τίσι καὶ οἵοις κολαζόμενος, τοῖς ἐκεῖθεν.

-ημείοις, ἢ κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρη, ὡς ἡ τραγῳδία δηλοῖ, ἀεὶ μὲν ἀνωθούμενον, ἀεὶ δὲ καταστρεφόμενον, οὐδὲ ῥοιζουμένῳ τροχῷ συγκυκλούμενος, οὐδὲ ὄρνισι τὸ ἧπαρ [x] κειρόμενος οὔποτε λῆγον, ἀεὶ δὲ πληρούμενον (εἴτε ἀληθῆ ταῦτά ἐστιν, εἴτε μῦθος παραδεικνὺς τὴν ἀλήθειαν ἐν τοῖς πλάσμασιν) ἀλλ' ὀψόμεθά σε σὺν τοῖς οἵοις τηνικαῦτα κολαζόμενον, καὶ ὡς πολὺ τούτων χαλεπωτέροις, εἴπερ πρὸς μέτρον τῶν ἁμαρτανομένων αἱ τίσεις καὶ ἀντιδόσεις. τοῦτό τοι ἀντὶ ποδὸς [y] ξεινήϊον, ὦ λῷστε καὶ συνετώτατε, ἵνα σε προσείπω τοῖς σοῖς, ταῦτα ἀντὶ τῶν λόγων ἀποκλεισθέντες ἡμεῖς κατὰ τὴν μεγάλην καὶ θαυμαστὴν σου νομοθεσίαν. ὁρᾷς ὡς οὐκ εἰς τέλος ἐμέλλομεν σιωπήσεσθαι, οὐδὲ ἀλογίαν κατακριθήσεσθαι τοῖς σοῖς δόγμασιν, ἀλλὰ ῥήξειν φωνὴν νῦν ἐλευθέραν καὶ τῆς σῆς ἐλεγκτικὴν ἀλογίας; οὔτε τοὺς Νειλῴους καταρράκτας ἐπισχεῖν μηχανή τις τοὺς ἀπ' Αἰθιοπίας εἰς Αἴγυπτον πίπτοντας, οὔτε ἡλιακὴν ἀκτῖνα, κἂν πρὸς ὀλίγον νέφει καλύπτηται, οὔτε Χριστιανῶν γλῶσσαν πεδῆσαι, τὰ ὑμέτερα στηλιτευούσαν· ταῦτά σοι Βασίλειος καὶ Γρηγόριος ἀντὶ τῆς σῆς ἐγχειρήσεως

γ. ἁμαρτανόντων

γ. Νείλ…

---

[x] κειρόμενος] Ὁ Προμηθεὺς λέγεται κλέψαι τὸ πῦρ παρὰ τῶν Θεῶν καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους· καὶ ὅτι περὶ τὰ κρέα τῆς θυσίας ἀπατήσας τὸν Δία εἰς ὀργὴν ἐκίνησεν αὐτὸν διπλῶς. τοῦτον θέλων τιμωρήσασθαι ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ. καὶ τὴν μὲν ἡμέραν κατεσθίετο τὸ ἧπαρ, τὴν δὲ νύκτα πάλιν ἀνεπληροῦτο, καὶ πάλιν ἔρχεται ὁ ἀετὸς καὶ ἤσθιεν αὐτό, ἕως οὗ ὁ Ἡρακλῆς ἐλθὼν ἐτόξευσε τὸ ὄρνεον τοῦτο. αὕτη οὖν ἐστιν ἡ περὶ τοῦ κείρεσθαι τὸ ἧπαρ ὑπὸ τῶν ὀρνίθων ἱστορία.

[y] ξεινήϊον] Ὁ ἐπίλογος ἐνταῦθα· ἔστι δὲ παρῳδία ἀπὸ τῆς Ὁμήρου ποιήσεως τῆς Ὀδυσσείας. εἰσελθὼν ἐν σχήματι πτωχοῦ μετὰ τὴν ἐπάνοδον εἰς τὰ ἑαυτοῦ Ὀδυσσεύς, εὗρεν εὐωχουμένους ἐν αὐτῇ τοὺς μνηστῆρας· καὶ πρῶτον τῷ Ἀντινόῳ προσελθών, ὡς ἂν ἐπὶ μᾶλλον αὐτὸν ἐρεθίσαι, προσεποιεῖτο δεῖσθαι τροφῆς οἷα πτωχός τις καὶ ἀλήτης. ὁ δὲ οὐκ ἐδίδου· Ὀδυσσέως δὲ ἐπιμένοντος, καὶ τὰ μὲν ἐνοχλοῦντος, τὰ δὲ καὶ ὀνειδίζοντος, ὁ Ἀντίνοος μέρος τι ποδὸς βοείου λαβὼν κατακοντίσας ἐπαφῆκεν Ὀδυσσεῖ, καὶ τὴν μὲν βολὴν διέφυγεν Ὀδυσσεύς, εὐθὺς δὲ τείνας τὸ τόξον βάλλει τὸν Ἀντίνοον, εἶτα μεγαλαυχῶν ἐπὶ τούτῳ καὶ λόγῳ τὸν ἐχθρὸν ἀμείβεται τοιῷδε, τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον· ἀντὶ τοῦ, τοῦτό σοι προσφέρω ξεινήϊον ἀντὶ τοῦ βοείου ποδός, ὃν ἐμοῦ κατηκόντισας. ἀντὶ ποδὸς δὲ νῦν νοήσεις ἀντὶ τοῦ καθ' ἡμῶν διωγμοῦ καὶ τῆς εἰς ἡμᾶς καὶ τοὺς λόγους παρανομίας τοῦ παραπλῆγος Ἰουλιανοῦ.

z ἀντιτεθ…

ᵞ ἀντίθετοι καὶ ἀντίτεχνοι, ὡς αὐτός τε ᾤου καὶ τοὺς ἄλλους ἔπειθες, ἀποσεμνύνων ἡμᾶς οἷς ἠπείλεις, καὶ θήγων πλέον πρὸς τὴν εὐσέβειαν· οὓς καὶ βίῳ καὶ λόγῳ καὶ τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ περιφανεῖς καὶ γνωρίμους ἔτι ἀπὸ τῆς Ἑλλάδος εἰδώς, τὴν Κυκλώπειον ἐτίμας τιμήν, ὡς τελευταίους ἐπιμιδύου τῷ διωγμῷ, καὶ δῶρον ἐπινίκιον ἴσως ἐπενόεις τοῖς δαίμοσι μέγα τι καὶ μεγαλοπρεπὲς (εἴ σε ἀπὸ τῆς Περσίδος ὑποδέξονται ἐπανήκοντα) ἢ καὶ συναρπάσειν πρὸς τὸ σὸν βάραθρον ἤλπισας, κακῶς οἰόμενος. οὐ γὰρ ἀγεννέστεροι τῶν νεανίσκων ἐκείνων ἡμεῖς τῶν ἐν πυρὶ δροσισθέντων, καὶ θῆρας νικησάντων ἐκ πίστεως, καὶ μητρὶ γενναίᾳ καὶ ἱερῷ γενναιοτέρῳ προθύμως συγκινδυνευσάντων, καὶ δειξάντων, ὅτι μόνοι τῶν ἁπάντων πίστις ἀνάλωτον· ἢ τούτων δὴ τῶν ἐπὶ σοῦ νεολμιδυσαμένων, ὧν ὁ μὲν τὴν μητέρα τῶν σῶν θεῶν καθυβρίσας καὶ βωμὸν διασπείρας, προσήχθη μὲν ὡς κατάκριτος, εἰσῆλθε δὲ ὡς νικηφόρος, καὶ πολλὰ σοῦ τῆς ἀλουργίδος καὶ τῶν λόγων καταγελάσας, ὡς ᵃ ψηφολογικῶν καὶ γελοίων, μετὰ πλείονος ἐξῆλθε τῆς παρρησίας, ἢ εἴ τις ἀπὸ δείπνου ἐπαναστρέφων καὶ λαμπρᾶς ἑστιάσεως· ὁ δὲ [ἅπαν] τὸ σῶμα ᵇ δορκαλίσι καταξανθεὶς εἰς βάθος, καὶ μικρὰ πνέων ἔτι τοῖς τραύμασι, τοσοῦτον ἀπεῖχεν ἐνδιδόναι πρὸς τὰς βασάνους, ἢ δεινόν τι τῶν παρόντων νομίζειν, ὥστε, ἐπειδή τι τοῦ σώματος εἶδεν ἀνεπηρέαστον ταῖς πληγαῖς, καὶ προσηπιάτο τοὺς βασανιστὰς ὡς ὑβρίσαντας καὶ οὐ πᾶν τὸ σῶμα τιμήσαντας, ἀλλά τι παρέντας ἄξαντον καὶ ἀνίερον, παρεδείκνυε ἅμα τὴν κνήμην ὡς μόνην διαφυγοῦσαν τοὺς ὄνυχας, καὶ μηδὲ ταύτης φει-

γρ. κινδύνῳ,

γρ. ὑποδεξόμεθα

γρ. νεανίσκων

γρ. προσῆλθε ἀλλ. ἐξῆλθε

γρ. ὥς τις ἀλλ. ὡς ἤ τις

ᵞ ἀντίθετοι] Τὸ ἀντίθετον καὶ πρὸς γενικῆς, καὶ πρὸς δοτικῆς συντάττεται, ὥσπερ καὶ τὸ ἴσον· καὶ ἀντίθετός αὐτῷ εἰμι καὶ αὐτοῦ· τουτέστι, ἀντίπαλος, ἐναντίος, ἀνταγωνιστής. ᵃ ψηφολογικῶν] Ψηφολόγοι, οἱ ψηφοκλέπται. ψηφολογικοὶ τοίνυν λόγοι οἱ πλανῶντες ὥσπερ οἱ ψηφοκλέπται τοὺς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων. ᵇ δορκαλίσι] Δορκαλίδες ὄργανά εἰσι κολαστικά, ἴσως δὲ αἱ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδος οὕτω λέγονται, ὡς ὑστριχίδες αἱ ἀπὸ τριχῶν ὑός. ἔστι δὲ καὶ ὕστριχις θηρίον τι τρίχας ἔχον ὑός, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

δέεσθαι διακελευόμενος. ποῦ ὁ λῆρός σοι τῶν [c] Πορφυρίου ψευσμάτων καὶ ληρημάτων, οἷς ὑμεῖς ὡς θείαις φωναῖς ἀγάλλεσθε, ἢ ὁ σὸς [d] Μισοπώγωνος, εἴτ' οὖν Ἀντιοχικός (ἀμφότερα γὰρ ἐπιγράφεις τῷ λόγῳ) ὁ τί Χριστιανοῖς ἀτιμότερον; ὃν τότε μὲν ἡ πορφυρὶς μέγαν ἐποίει, καὶ οἱ πάντα τὰ σὰ θαυμάζοντες κόλακες, νῦν δὲ πώγων ἐστὶ περιφθειρόμενος καὶ περισυρόμενος, καὶ τοῖς συμπεπτωκόσιν ὁμοῦ γελώμενος, ἐν ᾧ σὺ τῷ μὲν ἀπερίττῳ τοῦ σώματος, καὶ τῷ μηδὲ πώποτε τυχεῖν ἀπεπλῆσαι ἐξ ἀπληστίας, μέγα φυσᾷς, ὡς δή τι θαυμάσιον λέγων· ὅτι δὲ Χριστιανοῖς ἤλασας οὕτω πικρῶς, καὶ τοσοῦτον ἔθνος καὶ οὕτως ἱερὸν [e] παρανάλωσας, ἑκὼν παρατρέχεις. καίτοιγε ἑνὸς μὲν ἀνδρὸς ἀπεπλήσαντος, ἢ [f] ἐρυγὰς φυσικὰς ἀφέντος, τί παρὰ τοῦτο τῷ κοινῷ βλάβος; τοσούτου δὲ διωγμοῦ κινηθέντος καὶ τοσαύτης καινοτομηθείσης συγχύσεως, πῶς οὐκ ἀνάγκη πᾶσαν τὰ Ῥωμαίων ἔχειν κακῶς, ὥσπερ οὖν καὶ ἐσχηκότα φαίνεται; αὕτη σοι παρ' ἡμῶν στήλη τῶν Ἡρακλείων στηλῶν ὑ-

χ. ὃ τι χριστιανοῖς ἀτιμότερος;

χ. περιφερόμενος

---

[c] Πορφυρίου] Πορφύριός τις ἀμαθὴς ἄλλος καθ' ἡμῶν, μᾶλλον δὲ καθ' ἑαυτοῦ μανεὶς προλαμβάνει τῷ χρόνῳ τὸν Ἰουλιανόν. τούτου τοὺς κιβδήλους λόγους πάνυ τιμῶσιν οἱ Ἕλληνες. [d] Μισοπώγων] Πολλῶν τῶν Ἀντιοχέων ἀποσκωψάντων εἰς αὐτὸν Ἰουλιανὸν καὶ τὸν πώγωνα, ὃν ἔτρεφε φιλοσοφεῖν προσποιούμενος, λόγον γράφει οὗ ἡ ἐπιγραφὴ Ἀντιοχικὸς ἢ Μισοπώγων. ἐν τούτῳ τῷ λόγῳ χαριεντιζόμενος καὶ σεμνυνόμενος γράφει οὕτω ἀπέριττον ἔχειν σῶμα, ὡς μηδέποτε ἀποπλῆσαι ἐκ κόρου καὶ πλησμονῆς. [e] παρανάλωσας] Ἀντὶ τοῦ ἀνάλωσας, εὐρυθμίας γὰρ ἕνεκα πρόσκειται. ἀλλαχοῦ δὲ παρανάλωμά ἐστι τὸ ἐπισυμβαῖνον ἔκ τινος τύχης, οἷόν ἐστι καὶ τὸ πάρεργον, καὶ παρεμπόρευμα. παραδείγματος δὲ χάριν ὑποκείσθω τοιαῦτα τῇ θεωρίᾳ· στρατηγὸς ἐν μάχῃ τοὺς πολεμίους κόπτων καὶ κτείνων, ἀγνοήσας τῶν ὁμοφύλων τινὰς συνανεῖλε. γέγονεν οὖν αὐτῷ ἀνάλωμα μὲν οἱ πολέμιοι, παρανάλωμα δὲ οἱ πολῖται διὰ τὴν ἄγνοιαν ἀναιρεθέντες. προσῆλθέ τις εἰς τὴν ἀγορὰν, τὸ δέ τι ποιήσων; ἔλαιον τυχὸν ἢ ἱμάτιον ὠνησόμενος· μεταξὺ ἄλλο παρέμπεσεν. ὠνήσατο· καὶ γέγονεν αὐτῷ ἔργον μὲν τὸ πρῶτον, πάρεργον δὲ τὸ δεύτερον. πάλιν, τὴν ἐμπορείαν ἔμπορος οἶνον ἔχων ἢ ἔλαιον, μεταξὺ σῖτον εὑρὼν ἐπ' εὐκαιρίας εὔωνον, καὶ τοῦτον ὠνήσατο· κλήσει μὲν ἐμπορείαν τὴν συνήθη καὶ πρώτην, παρεμπόρευμα δὲ τὸ δεύτερον ἐξ εὐκαιρίας. καὶ εἴ τι μὲν παρεμπόρευμα, τοῦτο καὶ πάρεργον· οὐκ, εἴ τι δὲ πάρεργον, τοῦτο ἤδη καὶ παρεμπόρευμα καλεῖται· ἀλλ' ἐκεῖνο τὸ πάρεργον καλεῖται παρεμπόρευμα, ὃ δευτέρῳ λόγῳ κατὰ συμβεβηκὸς ἐξ εὐκαιρίας εἰς ἐμπορείαν τις ἔλαβεν. [f] ἐρυγὰς] Τὸ ὄνομα ἐρυγή. τὸ δὲ ῥῆμα ἐρυγγάνω ἀντὶ τοῦ ἐρεύγομαι.

ὑψηλοτέρα τε καὶ περιφανεστέρα. αἱ μὲν γὰρ ἐφ' ἑνὸς τόπου πεπήγασι, καὶ μόνοις εἰσὶ θεαταὶ τοῖς ἐκεῖσε ἀφικνουμένοις· τὴν δὲ γρ. πάντῃ τε καὶ οὐκ ἔστι μὴ οὐ πανταχοῦ καὶ πᾶσι γνωρίζεσθαι κινουμένην· ἣν καὶ ὁ μέλλων οὐ περιλήψεται χρόνος. εὖ οἶδα σέ τε καὶ τὰ σὰ στηλιτεύουσαν, καὶ τοὺς λοιποὺς πάντας παιδεύουσαν, μὴ τὴν τοιαύτην κατὰ Θεοῦ τολμᾶν ἐπανάστασιν, ἵνα μὴ τὰ ὅμοια δράσαντες τῶν ἴσων καὶ αὐτοὶ τύχωσιν.

ΕΙΣ ΤΟΥΣ ΜΑΡΤΥΡΑΣ, ΚΑΙ ΚΑΤΑ Ἀρειανῶν.

Τί τοσοῦτόν ἐστιν εἰπεῖν, ὅσον τοῖς ὀφθαλμοῖς τὸ ἐπιβλέπειν; τίς διάλογος τῶν φαινομένων ἀγαθῶν ἰσοστάσιος; ἰδοὺ πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν τὸ ἀπιστούμενον θέαμα, ὃ καὶ ἰδεῖν μὲν πολλάκις ηὐξάμεθα, κρεῖττον δὲ ἦν ἢ κατ' εὐχὴν τὸ ποθούμενον. πάλιν ἐνταῦθα μαρτύρων τιμαί, πολὺν ἤδη τὸν πρὸ τούτου χρόνον ἀμεληθεῖσαι· πάλιν ἱερέων Θεοῦ συνδρομαί· πάλιν χοροστασίαι καὶ πανηγύρεις πνευματικαί, ὁ σύλλογος πολυάνθρωπος ἑορτάζειν οὐχ ὁπλομαχεῖν προθυμούμενος. ὢ τοῦ θαύματος. ἔρριπται τῶν χειρῶν τὰ ὅπλα· λέλυται ἡ παράταξις· ἀμνημονεῖται ὁ πόλεμος. οὐκ ἔτι αἱ φωναὶ τῶν ἀλαλαζόντων ἀκούονται· ἀντὶ δὲ τούτων ἑορταὶ καὶ εὐφροσύναι, καὶ εἰρηνικαὶ θυμηδίαι τὴν πόλιν πᾶσαν περιχορεύουσι, τὴν πάλαι μὲν οὖσαν τῶν μαρτύρων μητέρα, πολὺν δὲ τὸν ἐν τῷ μέσῳ χρόνον, ἄμοιρον γενομένην τῆς ἐπὶ τοῖς τέκνοις τιμῆς. ἀλλὰ νῦν ἀπέχει πάντα καὶ περισσεύει, καθὼς φησιν ὁ ἀπόστολος. εὖγε, ὦ μάρτυρες· ὑμέτερος καὶ οὗτος ὁ ἆθλος· ὑμεῖς νενικήκατε τὸν πολὺν πόλεμον εὖ οἶδα· μόνα καὶ ταῦτα τῶν ὑμετέρων ἱδρώτων τὰ κατορθώματα· ὑμεῖς ἠγείρατε τῇ εἰρήνῃ τὸ τρόπαιον· ὑμεῖς τοὺς ἱερέας τοῦ Θεοῦ ἐφ' ἑαυτοὺς ἐφειλκύσασθε· ὑμεῖς τοὺς χορευτὰς τοῦ ἁγίου πνεύματος τῷ συλλόγῳ τούτῳ παρεστήσασθε. ὢ

πόσην πεπόνθασι τὴν ζημίαν εἰς ὁ χρόνος τῆς ζωῆς μέχρι τοῦ νῦν οὐ διήρκεσε θεάματος, ἵνα τῶν σκυθρωπῶν εἰς κόρον ἐλθόντες, τῶν ἀγαθῶν τῆς εἰρήνης ἀπολαύσειαν. οἴχεται μὲν καὶ ἠφάνισται ἡ τῆς ἴσ. -σειεν αἱρέσεως ἀπάτη, ὥσπερ τις ὁμίχλη, ὑπὸ τοῦ ἁγίου πνεύματος σκεδασθεῖσα, καθαρὰ δὲ διέλαμψεν ἡ τῆς εἰρήνης αἰθρία, καὶ διαφαίνονται κατ' αὐτὴν καὶ τοῦ ἀέρος ἐν λαμπρῷ τῆς ἀληθείας φωτὶ μυρίοι μαρμαίροντες ἀστέρες, οὐχὶ νυκτὶ ἀποκεκληρωμένοι καὶ σκότῳ, ἀλλ' ἡμεροφανεῖς καὶ πάντες, τῷ ἀληθινῷ φωτὶ τῆς δικαιοσύνης ἀναλάμψαντες καὶ ἐπὶ τοῦ, καθά φησιν ὁ ἀπόστολος, ἡ νὺξ προέκοψε, μᾶλλον δὲ τὸ παράπαν ἠφάνισται, τῷ δὲ φωτὶ τῆς ἡμέρας ἅπαν γρ. πάν καταφαιδρύνεται. φεύγει μὲν τὰ νυκτινόμα τῶν θηρίων, καὶ συνελαύνονται πρὸς τοὺς δρυμοὺς καὶ τὰς ἀπηλυσίας. φεύγουσι δὲ νυκτε- ἴσ. δρύμοις ειδεῖς αἱρετικοὶ τρύζουσαι καὶ πρὸς τὸ τῆς ἀληθείας φῶς ἀμβλυώττουσαι, καὶ εἰς τὰς τρώγλας τῶν πετρῶν καταδύονται ἐπὶ κεφαλὴν ἀλλήλων ἐρριμμέναι. πέπαυται διὰ τῆς ἡμέρας ταύτης τὰ τῶν κωμαστῶν καὶ τῶν μεθυόντων συντάγματα. λωποδύται, καὶ τοιχωρύχοι, καὶ κλέπται, καὶ, εἴ τι ἄλλο τῆς νυκτός ἔργον ἐστί, τοῦ φωτὸς τῆς εἰρήνης ἐπανατείλαντος, κέκρυπται. ἕως δὲ ἦν ἡ νὺξ ἐκείνη τῷ τῆς ἀπάτης γνόφῳ τὰ πάντα κατασκοτίζουσα, οἷα ἦν τὰ πραττόμενα; λήθης ἄξια καὶ βαθείας σιγῆς, ὡς ἂν μὴ μνήμη τῶν ἀνδεστέρων ἡ προϊοῦσα γραφὴ καταμολύνοιτο. πῶς γὰρ ἄν τις εἴποι τὰ κατ' αὐτῆς κακά; πῶς δ' ἄν τις καὶ σιωπήσειε; τί πάθος ἐκ τραγῳδίας τοιοῦτον; τίς μῦθος συμφορὰς ἀναπλασάντων; τίς ποιητὴς δραματικὸς τοιοῦτον ἐπὶ σκηνῆς πάθος ἐβόησεν; ὑπὲρ λόγον ἡ συμφορά· ὑπὲρ τὴν δύναμιν τῶν διηγουμένων τὰ πάθη. ὁρμητήριον ἦν τοῦ διαβόλου ὁ χῶρος, ἐνταῦθα τὸ στρατόπεδον ἑαυτῷ κατεστήσατο, καὶ τοὺς ἰδίους ὑπασπιστὰς ἐν αὐτῷ καθιδρύσατο. ἐνταῦθα ὁ στρατὸς τοῦ ψεύδους, καὶ τῆς ἀπάτης πρόμαχοι, ἡ τῶν δαιμόνων ἐκστρατεία, αἱ λεγεῶνες τῶν ἀκαθάρτων πνευμάτων. εἰ δὲ χρὴ καὶ τῶν ἔξωθεν ὀνομάτων εἰπεῖν, ἐντεῦθεν ὁ πονηρὸς τῶν δαιμό-

νων ἐριννύων στρατὸς κατὰ τῆς ἐκκλησίας ἐκώμασεν· οὕτω γὰρ ὀνομάζειν τὰς γυναῖκας παρεθάρρημαι, αἳ παρὰ τὴν φύσιν εἰς τὸ κακὸν ἐνυβρίζοντο. μία ἦν ἐν ταῖς ἡμέραις Ἠλίου ἡ Ἰεζάβελ κατὰ τῶν προφητῶν τοῦ Κυρίου φονῶσα, καὶ στηλιτεύει αὐτὴν ἡ θεόπνευστος ἱστορία· ὡς ἂν οἶμαι τῇ μνήμῃ τῆς ἀκολάστου γυναικὸς πᾶς ὁ μετὰ ταῦτα βίος παιδεύοιτο. τοσαῦται τοίνυν κατὰ τὴν Ἰεζάβελ ἐκείνην, ὥσπερ τι κώνειον ἐκ τῆς χώρας ἀθρόως ἐβλάστησαν, νικῶσαι τὴν μνημονευθεῖσαν τῇ τῆς πικρίας ὑπερβολῇ. εἰ δὲ ἀπιστεῖς τῷ λόγῳ, τὴν ἱστορίαν ἐπίσκεψαι. ἐκείνη τὴν ἄμπελον τοῦ Ναβουθαὶ τῷ ἐκλύτῳ Ἀχαὰβ ἐχαρίζετο, ἵνα ποιήσῃ κῆπον τὴν ἄμπελον, τρυφῆς ἐγκαλλώπισμα, γυναικείαν χλιδήν· αὗται τὴν ζῶσαν Θεοῦ ἄμπελον, τὴν ἐκκλησίαν λέγω, εἰς παντελῆ ἀφανισμὸν μετενεγκεῖν ἐβιάσαντο, αὗται δι' ἑαυτῶν τὸ κακὸν ἐνεργοῦσαι. ποῖον εὕρω τοῦ λόγου παράδειγμα; τίνα τῆς κακίας ταύτης ἐπινοήσω εἰκόνα; εἶδον ἐπὶ κονιάματος τοίχου τοιαύτην γραφήν (καὶ μὴ βαστάζατε τὴν καρδίαν τῇ τῶν κακῶν μνήμῃ περιοιδαίνουσαν, μᾶλλον δὲ τῷ πόνῳ καὶ ὑμεῖς συναλγήσατε, ἡμέτερα γὰρ καὶ οὐκ ἀλλότρια διηγούμεθα πάθη) τίς τοίνυν ἡ γραφὴ ἣν προσεικάζω τοῖς πράγμασι; χορεία τις ἦν γυναικῶν ἀσχημονοῦσα, ἄλλης κατ' ἄλλο τι σχῆμα ὀρχηστικὸν ἑαυτὴν διαστρεβλούσης (μαινάδας οἱ μῦθοι τὰς τοιαύτας γυναῖκας καλοῦσι) κόμαι ταῖς αὔραις ἀνασοβούμεναι, βλέμμα μανίας πρόοδον, πυρσοὶ διὰ χειρῶν φερόμενοι, καὶ φλόγες ἐκ τούτων τῇ περιστροφῇ τῶν σωμάτων ἐνειλισσόμεναι· αὔρα ἐν κόλποις τῇ ἀσχημοσύνῃ τῶν πέπλων λυμαινομένη, πόδες ἀκροβατοῦντες καὶ ὑφαλλόμενοι, αἰδὼς ἀσχήμων οὐδενὸς τῶν γινομένων ἐφαπτομένη· διὰ μέσου δὲ τῆς τοιαύτης χορείας, ἀνδρὸς εἴδωλον τοιοῦτον· μιξόθηλύ τις καὶ τὴν φύσιν ἀμφίβολος, καὶ θηλυδρίας τὸ εἶδος, ἐν μεθορίῳ τῆς φύσεως κείμενος, λελυμένος τῷ σχήματι οἷά τινι κώματι καὶ μέθῃ

κ. ὑπὸ παράφορος· οὗτος ἐπί τινος α[illegible]ίνης ἐξυπτιάζων, διὰ τοῦ χοροῦ

τῶν μαινάδων ἀπὸ θυρῶν ἐκόμιζεν· πολὺς δὲ περὶ αὐτὸν ἐκ κρατῆρος ὁ ἄκρατος· καί τινες λάλοι, τὴν φύσιν ἀλλόκοτοι, περὶ τὸ εἴδωλον ἦσαν, τὰ πρόσωπα λάσιοι, ἐπὶ σκελῶν τραγείων περισκιρτῶντες τὸ εἴδωλον. τοιαῦτα τῆς νυκτὸς ἐκείνης τὰ διηγήματα. γυναῖκες ἐπ᾽ ἀτιμίᾳ συνειλεχθεῖσαι τοῦ γένους, κοινῇ κατηγορίᾳ τῆς φύσεως τὴν νενομισμένην ἐν γυναιξὶν εὐκοσμίαν ἐξορχησάμεναι, πομπὴν ᾖγον διὰ μέσης τῆς πόλεως, θεατρίζουσαι δι᾽ ἑαυτῶν ἀσχημονοῦσαν τὴν φύσιν, λίθοις τὰς χεῖρας ἀντὶ θυρεῶν ὁπλίσασαι, ″φόνιον βλέπουσαι αἷμα δὲ τῇ τῶν ὀμμάτων βολῇ, ἐντὸς τῶν θείων περιβόλων γενόμεναι, ἐπὶ τῆς ἱερᾶς καθέδρας ἀνέθηκαν ἑαυτῶν τὸν Κορύβαντα. εἶτα μέθη καὶ ἄκρατος καὶ οἱ ἐκ τῶν ἀσκητηρίων Πᾶνες· καὶ νὺξ καὶ διαγωγὴ συμμιγής· καὶ πάντα ὅσα κωλύει ὁ ἀπόστολος λέγειν εἰπών, ὅτι τὰ κρυφῇ ὑπ᾽ αὐτῶν γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν. τίς γὰρ ἂν μετ᾽ ἀκριβείας διεξέλθοι τῷ λόγῳ τὸ πῦρ, τοὺς λίθους, τὰς σφαγάς, τὰ τραύματα; ὅπως ἐκ βάθρων ἀνατρέψαι τοὺς τῶν ἱερῶν οἴκων θεράποντας ἐφιλονείκησαν; ὡς διὰ μέσης τῆς πόλεως ζηλωτήν τινα τῆς ἀληθείας ῥοπάλοις διεχειρίσαντο; καὶ τὸν ἀληθῆ φόνον ὁ ὑπονοηθεὶς φόνος ἐκώλυσεν. ἀλλὰ γάρ, οὐκ οἶδα πῶς τῆς πρεπούσης ἡδονῆς ἀπορρυεὶς ὁ λόγος ἐμφιλοχωρήσας τοῖς γηΐνοις διηγήμασιν. οὐκοῦν ἐπανιτέον ὅθεν ἐξέβημεν, ὥστε γλυκεῖ τε ποτίμῳ τῷ λόγῳ τὴν ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι. ἐν γὰρ ἡμέραις, φησίν, εὐφροσύνης ″ἀμνησία κακῶν. πάλιν τοίνυν ἐπὶ τὸν αὐτὸν ἐπανερχόμενοι λόγον· ὅτι ἡ νὺξ ἐκείνη καὶ ὁ γνόφος ἠφάνισται, αἱ δὲ τῆς εἰρήνης ἀκτῖνες διὰ καθαρᾶς τῆς αἰθρίας τῷ τῆς ἀληθείας φωτὶ περιλάμπουσι· διὰ τοῦτο ἐκβέβληται μὲν τῶν θείων περιβόλων πᾶν ὅ,τι δυσῶδες καὶ βέβηλον· ἀντεισῆκται δὲ πάσης εὐφροσύνης τῶν εὐσεβούντων οἱ οἶκοι, καὶ λείπει πρὸς εὐφροσύνην οὐδέν· οἱ δαιτυμόνες οἱ ἑστιάτορες· ἡ τοῖς ἀγαθοῖς ἐδωδίμοις πλήθουσα τράπεζα.

γρ. φόνον

γρ. -σία

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ
ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ

ἐπιστολαί τινες ἀνέκδοτοι.

Κυριακῷ.



Τιμᾶς σὺ τοὺς εὐλαβεῖς, εὖ οἶδα, καὶ τοὺς πτωχοὺς εὖ ποιεῖς. τούτων ἀμφοτέρων σοι νῦν χάρις. ἔχει γὰρ οὕτως. ὁ τιμιώτατος καὶ θεοφιλέστατος υἱὸς ἡμῶν Σακερδὼς ὁ συμπρεσβύτερος, πτωχείου προέστηκε τῶν ἐπισήμων πολυανθρώπου, εὐσεβείας τε ἕνεκα καὶ τῆς εἰς τὸ πρᾶγμα σπουδῆς. ἔστι δὲ τῶν
γρ. λιειάνδις ὑπηρετουμένων τῷ πτωχείῳ κτήματα ''λιειάνδος καὶ καβεεῖνα
γρ. τὸ ἔξωπον τὸ ὁμοροῦντα'' τόποις τοῖς τῆς οἰκίας, ἐξ ἐπιδόσεως τοῦ τιμιωτάτου Κάστορος, τῷ πτωχείῳ τι συνεισφέροντα. ταῦτα πάσης ἐπηρείας ἐλευθερώσας, μέρος οὐκ ἐλάχιστον συνεισοίσεις, καὶ τοῖς πτωχοῖς τῆς θεραπείας, καὶ σεαυτῷ τῆς ἀντιδόσεως ἣν οἶδας ὀφειλομένην τοῖς εὐσεβέσι. δῆλον δὲ ὅτι ἅπαξ ὁρμήσας εἰς τὴν εὐεργεσίαν, καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας ποιήσεις πρόνοιαν, ὡς μηδὲ βουλομένῳ τινὶ ἐξεῖναι κακὸν γίνεσθαι περὶ τοὺς τόπους,
γρ. σύνθεσις τρόπον ὃν ἐπινοήσειεν ἡ σὴ'' σύνεσις.

Ἐλλαδίῳ.

γρ. ἄλλως Ἡδὺ μὲν καὶ'' ἄλλοις τὸ προσαγορεύειν τὴν σὴν εὐλάβειαν, ἐμοὶ δὲ ἥδιον οὕτω διακειμένῳ. τὸ γὰρ καθ' ἑκάστην σχε-
γρ. γινώσκεσθαι δὸν τὴν ἡμέραν'' ἀπογινώσκεσθαι, πλέον ἔχεσθαί σου ποιεῖ,'' ὡς ἀεὶ
γρ. ὡς ἀεὶ τὸ τὰ τελευταῖα προσκερδαίνοντα. ἐπεὶ δὲ καὶ τὸ κέρδος ὁμολογῶ, χρεωστῶ τὴν ἀντίδοσιν τῷ αἰδεσιμωτάτῳ υἱῷ Νικοβούλῳ, περὶ οὗ

τὸ κέρδος· ὅπερ δὲ ποιοῦσιν οἱ πένητες, πρὸς τοὺς εὐπόρους βλέποντες, ἵνα περὶ ἐκείνων εὖ πάθωσι, τοῦτο καὶ αὐτὸς ποιῶ, δεῖ σου τοῦ ἀνδρὶ διαλύων τὸ χρέος. χρήζει δὲ ἀπραγμοσύνης πάντα τὸν χρόνον ταύτῃ συνειθισμένος, πρὸς ὃν αὐτὴν αἰτῶ συναρᾶσθαι καταξίωσον.

Εὐδοξίῳ.

Ο Σύμπνοις, καὶ συμπαθής. τὸ δὲ συμπαθὲς, καὶ γνήσιον. τὸ δὲ γνήσιον, καὶ εἰς συμβουλὴν ἀξιόπιστον. ἐπεὶ τοίνυν ἡμεῖς μὲν ἀρχαιότεροι τὴν εὐσέβειαν, καὶ πολλῶν καὶ ἀνδρῶν καὶ ἠθῶν ἐν πείρᾳ γεγόναμεν (πεῖρα δὲ μήτηρ συνέσεως) ὑμεῖς δὲ οἱ πῶλοι νεοζυγεῖς, καὶ ἄρτι τὸν κατὰ Θεὸν ἀγῶνα ἀρχόμενοι (τὸ δὲ ἀρχόμενον ἅπαν θερμότερον, καὶ δυνάμενον τῇ ζέσει τοῦ πνεύματος πολλὰ μὲν κατορθῶσαι τῶν δεόντων, πολλὰ δὲ διαμαρτεῖν ἐξ ἀγνοίας) θέλησον, γενόμενος μέχρις ἡμῶν, καὶ ὡς γέροντας τιμῆσαι, καὶ ὡς πατέρας αἰδεσθῆναι, καὶ ὡς μεσίταις χρήσασθαι τῆς πρὸς τὸν αἰδεσιμώτατον ἀδελφὸν καὶ συμπρεσβύτερον ἡμῶν Σακερδῶτα διαφορᾶς. πάρεστι γὰρ καὶ αὐτὸς, ἵνα τὰ πρὸς ἀλλήλους εὖ θέμενοι, καὶ τὸν ἐπίσκοπον θεραπεύσητε, καὶ τὸ σκάνδαλον τῶν πολλῶν λύσητε, καὶ, τὸ μέγιστον ἁπάντων, τὸν Θεὸν ἱλεώσησθε, μὴ πρᾶγμα τοσοῦτον καὶ οὕτως ἔνδοξον (λέγω δὲ τὴν σύμπνοιαν ὑμῶν, καὶ τὰς κατὰ Θεὸν τοῦ βίου συνθήκας) οὕτως ἐν βραχεῖ καταλύσητε.

Τῷ αὐτῷ.

Ε Μοὶ φίλος μέν ἐστιν ὁμολογῶ, καὶ ἔτι, ὁ καλός τε καὶ ἀγαθὸς Σακερδὼς ὁ συμπρεσβύτερος, καὶ ταύτῃ μᾶλλον ὅτι σοῦ προσέχεται. οὐδὲ γὰρ ἐν οἷς ἠπάτο τὸ φιλεῖν ἀπέλιπεν, ἀλλ' ἀδικίαν μᾶλλον ἐποιεῖτο μέμψιν ἢ κατηγορίαν φιλαπεχθήμονα. οὐ μήν τοι τοσοῦτον ἀμαθὴς ἔχω καὶ προπετῶς, ὥστε δίκην δικάζειν πρὶν ἀμφοτέρων ἀκοῦσαι (μὴ τοῦτ' ὑπολάβοις) ὅς γε καὶ δι' αὐτῆς

τῆς τῆς ἐπιστολῆς ἧς κατέγνωκας ὡς θρασείας (εἰ μὴ περιέργως ταύτην ἀνέγνως) οὐ τοσοῦτόν σου καταδεδράμηκα ὅσον τῶν ἀναπειθόντων ὑμᾶς, καὶ παρὰ Σακερδωνόντων παρὰ τῆς ἡμετέρας μικροψυχίας ἰδίας ἂν ἀπόλαυσιν. τί οὖν ἐστιν ὃ πέπονθα; γνοίης ἂν οὕτως. οἱ πωλοδάμναι τοὺς πώλους γυμνάζουσι πρὸς τὰ χρώματα, καὶ τοὺς φόβους, καὶ τῶν χωρίων τὰ τραχῆ τε καὶ ὕπτια, οὐχ ἵνα πτοήσωσιν, ἀλλ' ἵνα μὴ πτοεῖσθαι διδάξωσι. τοῦτο κἀγὼ διανοηθεὶς, τραχυτέραν πως καὶ τὴν ἐπιστολὴν ἐποιησάμην. πολλὰ γὰρ τὰ φιλοσοφίας γυμνάσματα, καὶ δεῖ Θεῷ χάρις ὅτι σε μὴ ἀφιλόσοφον εὕρον, μηδὲ τῆς ὕλης, ἀλλ' ἡμερῶν ἰχθμῶς, καὶ τῆς ἡμετέρας αὐλῆς, ὑφ' ἧς καὶ γράφεις ἐπιεικῶς, καὶ τὴν συντυχίαν ποθεῖς. εἰ μὲν οὖν καὶ ταύτην ἡμῖν χαρίζοιο, κρεῖττον ποιεῖς, καί σε δεξόμεθα, εὖ ἴσθι, πατρικοῖς ὄμμασιν. εἰ δ' ἄρα τί σε ὁ χειμὼν ἐμποδίζει, τῇ παραινέσει τέως δεξιούμεθα. μηδὲν προστιμήσῃς, ἔπι καὶ νῦν, τῆς πρὸς τὸν ἀδελφὸν Σακερδῶτα φιλίας καὶ ὁμονοίας (ἐμοὶ πείθητι) μηδ' ἄλλο τι νομίσῃς, ἢ πεῖραν εἶναι τοῦ πονηροῦ τὸ γινόμενον, τῇ σῇ φιλοσοφίᾳ βασκαίνοντος. ἀλλὰ πρὸς τὴν πρώτην πεῖραν ἀγώνισαι γενναίως καὶ ἀνδρικῶς, ἵνα μὴ τὴν δευτέραν ποιήσηται, καὶ τρίτην πάλιν, καὶ ἄλλας ἑξῆς, ἀλλ' ἡττημένος ἀπέλθῃ καὶ ἠμυμένος. ἴσμεν γὰρ αὐτοῦ τὰ παλαίσματα, τῷ μακρῷ χρόνῳ τοῦτο μαθόντες, καὶ τοῖς πρὸς αὐτὸν ἀγωνίσμασι.

γρ. φόφους
γρ. παχυτέραν
γρ. ἀπέλθοι

Ομοφρονίῳ.

Επὶ τὴν σύνοδον ἡμᾶς καλεῖς, ἐγὼ δὲ ηὐχόμην οὕτως ἔχειν τοῦ σώματος, ὥστε παρεῖναι ὑμῖν καὶ αὐτόκλητον, ἵνα ἴδω τὸν ἱερὸν οἶκον ὑμῶν, τὸ Χριστοῦ καταγώγιον, τὴν τῶν ἁγίων κλάδων ῥίζαν, τὴν ὡς ἀληθῶς μητέρα τέκνων εὐφραινομένην τε καὶ εὐφραινομένων. οἶδα τοῦτο καὶ πέπεισμαι ἐν Κυρίῳ, καὶ διὰ τοῦτο λέγω θαρρῶν εἴ τι καὶ λυπηρὸν νῦν ὑμῖν ἀπήντηκεν, οὐ μὴ ἀποσβεσθῇ ὁ λύχνος τοῦ Ισραὴλ κἂν ταῖς αὔραις τοῦ πονηροῦ ῥιπίζηται,

γρ. πως
γρ. ἐπὶ τέκνοις
γρ. ἡμῖν

ῥιπίζηται, οὐδὲ ἡ τοῦ Θεοῦ χρηστότης ἐπὶ πλεῖον κρυφθήσεται, ἣν κρύπτει τοῖς φοβουμένοις αὐτόν, λόγοις ἀρρήτοις οἰκονομίας, ἀλλ' ἐνδοξασθήσεται μᾶλλον καὶ θαυμασθήσεται διὰ τῆς ὑμετέρας ὑπομονῆς, καὶ τῆς μὴ καταισχυνούσης ἐλπίδος. τοῦτο δὲ παραινεῖ καὶ τῷ τιμιωτάτῳ υἱῷ ἡμῶν Σακερδῶτι, μηδὲν ἀθυμεῖν, μηδὲ ἀνάξιον ἑαυτοῦ πάσχειν, ἀλλ' ὑπὸ τῶν καιρῶν διατεθεῖσθαι, ὡς φιλοσοφίας ὕλην τὰ λυπηρὰ λαβεῖν. ἔτι θεραπευσάτω τὸν τιμιώτατον ἡμῶν ἐπίσκοπον, ἔτι ῥωννύτω τοὺς ἀδελφούς, ἵνα μάλιστα μὲν μὴ καταλυθῇ τὸ ἔργον ἡμῶν ὃ προεθέμεθα ἐν Κυρίῳ τοσοῦτόν τε ὄν, καὶ οὕτω περιβόητον. εἰ δὲ μή, τὸ γοῦν ἐπιεικὲς δείξωμεν, καὶ τὸν φθόνον νικήσωμεν, ὡς μηδεμίαν δεδωκότες καθ' ἑαυτῶν λαβὴν τοῖς πονηροῖς καὶ ματαίως ἡμῖν ἐχθραίνουσιν.

γρ. συγκρ.
γρ. ἡμετ.
γρ. διατίθεσθ.
γρ. διδάξωμεν

Τῷ αὐτῷ.

Πυνθάνομαί σε ἀναχωρητικῶς ἔχειν, καὶ εἴθε γένοιο ἡμῖν Ἰωάννης ὁ βαπτιστής, ἢ καὶ Ἠλίας ὁ τοῦ Καρμήλου. καὶ τοῦτο μόνον ἀδικήσειαν οἱ μισοῦντες, τὸ πρὸς Θεὸν συναγαγεῖν καὶ δοῦναι γνησίως τοῖς ἄνω, πραγμάτων καὶ θορύβων ἀπαλλαγέντας· ἵν' ἄκοντες γοῦν εὖ ποιῶσιν ἡμᾶς, ἐπειδὴ μὴ ἑκόντες δύνανται.

γρ. ἢ καὶ Η. ὁ Καρ.
γρ. -ουν αἱ ἡμῶν οἱ

Γιγαντίῳ.

Ἥσθην τῇ κλήσει, ὑπερήσθην οἷς γράφεις, οὐχ ὅτι ἐπαινούμεθα, μικρὸν γάρ, ἀλλ' ὅτι φρονεῖς ὀρθῶς· καὶ δεσμός σοι τῆς πρὸς ἡμᾶς ἀγάπης ἡ τῶν αὐτῶν ἐλπίς, καὶ ἡ γνησία τῆς τριάδος προσκύνησις· ἣν φθεγγόμεθα μᾶλλον ἢ ἀναπνέομεν καὶ μετὰ κινδύνων καὶ ἀκινδύνως· τὰ μὲν ἄλλα διδόντες τοῖς καιροῖς, ὡς ἂν βούλωνται, περιφέρειν, τοῦτο δὲ ἀκίνητον ἐν ταῖς ψυχαῖς ἔχοντες, τὸν μόνον ἄφθονον θησαυρόν, καὶ ὄντως ἡμέτερον· ὡς ἔγωγε, ὅταν τἄλλα ἐνθυμηθῶ, καὶ ὅσαι θλίψεις αἱ μὲν περιέσχον ἡμᾶς, αἱ δὲ περιέχουσι·

καὶ

καὶ τὴν ἀνωμαλίαν τῶν ἄνω καὶ κάτω στροβούντων ἡμᾶς καιρῶν, καὶ τὸν πόλεμον ὃν πολεμούμεθα ὑπὸ πάντων οὐδὲν ἀδικοῦντες, πρὸς τοῦτο γὰρ ἀποβλέψω μόνον, ὅτι κήρυξ γενέσθαι τῆς ἀληθείας κατηξιώθην, παρερριμμένης τε καὶ ἀπεπλυσμένης ἐν τῇ ἐρήμῳ διδασκαλίας ὑγιαινούσης, καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, κατὰ τὸ γεγραμμένον. μικρὸν εἰπεῖν, ὅτι λύω πᾶσαν ἀδημονίαν, ἀλλὰ καὶ ὑπερήδομαι, ὡς μειζόνων, ἢ κατ᾽ ἐμαυτὸν, ἠξιωμένος. πρὸς οὖν σὲ ταῦτα γράφω, ἵν᾽ ἐκεῖνο δηλώσω ὅτι μόνη μοι βεβαία φιλία, καὶ οἰκείωσις πρὸς τοὺς οὕτως ἔχοντας. τῶν δὲ οὕτως ἐχόντων τίς ἂν ἑκὼν ἀπολείποιτο εὐφρονῶν; τίς γὰρ μείζων ἑορτὴ τοῦ τοιούτους ἑορτάζειν; εἰ γὰρ ἡ ἀρρωστία, καὶ ὁ χειμὼν ἐμποδίζει τὴν προθυμίαν, οἴσω μὲν αὐτὸς τὴν ζημίαν, συγγινώσκετε δὲ ὑμεῖς, καὶ καιρὸν ἄλλον συντυχίας ἡμῖν ἐπεύχεσθε.

Ἀμφιλοχίῳ.

Μόλις ποτὲ τῶν ἐκ τῆς ἀρρωστίας ἀνανεύσαντες πόνων, ἐπὶ σὲ τὸν τῆς ἰάσεως πρόξενον δεδραμήκαμεν. γλῶσσα γὰρ ἱερέως φιλοσοφοῦσα τὸν Κύριον, ἀνεγείρει τοὺς κάμνοντας. ποίει τοίνυν τὸ κρεῖττον ἱερουργῶν, καὶ λύε τῶν ἁμαρτημάτων ἡμῖν τὸ μέγεθος, τῆς ἀναστασίμου θυσίας ἁπτόμενος. ἐμοὶ γὰρ καὶ ἐγρηγορότι καὶ καθεύδοντι μέλει τὰ κατὰ σέ, καί μοι γέγονας πλῆκτρον ἀγαθὸν καὶ λύρα ἐναρμόνιος· ταῖς ἡμετέραις ψυχαῖς εἰσῴκησας, ἀφ᾽ ὧν, μυριάκις γράφων, πρὸς ἐπίγνωσιν τῆς ἡμετέρας ψυχῆς ἐξήσκησας. ἀλλ᾽ ὦ θεοσεβέστατε, μὴ κατόκνει τὸ προσεύχεσθαι καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν, ὅταν λόγῳ καθέλκῃς τὸν Λόγον, ὅταν ἀναιμάκτῳ τομῇ σῶμα καὶ αἷμα τέμνῃς δεσποτικόν, φωνὴν ἔχων τὸ ξίφος.

τοῦ αὐτοῦ.

Τὰς ὀρείους μὲν, ὁμόρους δὲ τῆς Παμφυλίας πόλεις ἐπισκεψάμενοι, γλαυκὸν ἐκεῖ θαλάττιον ἐν τοῖς ὄρεσιν ἡλιευσά-

μένων· οὐ λίνου δικτύοις τοῦ βυθοῦ τὸν ἰχθὺν ἐξελκύσαντες, ἀλλ' ἀγάπῃ φίλων τὸ θρέμμα σαγηνεύσαντες. ἅπαξ δὲ τὸν γλαυκὸν πεζεύειν μαθόντα γραμματηφόρον προσαπεστάλκαμεν τῇ ὑμετέρᾳ ἀγαθότητι, ὃν φιλοφρόνως ξενίσατε, καὶ παρὰ ταῖς γραφαῖς εὐδοκιμοῦντι ξενισμοῦ μετὰ λαχάνων καταξιώσατε.

Ἀβουργίῳ.

Διάττειν σε, ὡς τοὺς ἀστέρας, ἄλλοτε κατ' ἄλλο μέρος τῆς βαρβαρικῆς ἀΐσσοντα, νῦν μὲν σιτηρέσια στρατιωτικὰ παρέχοντα, νῦν δὲ βασιλεῖ φαινόμενον μετὰ λαμπροῦ τοῦ σχήματος, ἡ τῶν ἀγαθῶν ἄγγελος, φήμη ἀγγέλλουσα ἡμῖν οὐ διαλείπει. εὐχόμεθα δὲ τῷ Θεῷ κατὰ λόγον μέν σοι προϊοῦσαν τὴν ἐπιχείρησιν, ἐπὶ μέγα σε προελθεῖν ἀξίωμα, καὶ φανῆναί ποτε τηκομένων. τοσοῦτον γὰρ μέτεστιν ἡμῖν τοῦ βίου ὅσον διαμνῆσαι μόνον.

Ἀλυπίῳ.

Ἰδού σοι καὶ ἄλλη γραμμάτων ὑπόθεσις· ἣν σὺ ποιεῖς, εἰ χρὴ τἀληθῆ λέγειν, τὸ τιμᾶν προσκαλούμενος· ἰδού σοι καὶ ἄλλος ἱκέτης φόβου δέσμιος, ἐστὶ δὲ ὁ συγγενὴς ἡμῶν Εὐστράτιος, ὃς μεθ' ἡμῶν καὶ δι' ἡμῶν προσαπίπτει τῇ σῇ ἀγαθότητι· οὔτε διὰ παντὸς ἀφηνιάζειν τῆς σῆς ἀνεχόμενος ἐξουσίας (εἰ καὶ φόβος δίκαιος αὐτὸν διεπτόησεν) οὔτε δι' ἄλλου σοι προσαπεσεῖν, ἢ δι' ἡμῶν, αἱρούμενος· ἵνα καὶ σεμνοτέραν ἑαυτῷ ποιήσῃ τὴν φιλανθρωπίαν, τούτοις πρεσβευταῖς χρώμενος, οἷς, εἰ μή τις ἄλλος, αὐτὸς μεγάλους ποιεῖς. οὕτω τὰς παρακλήσεις δεχόμενος, ἓν καὶ σύντομον δέξομαι· τὰς μὲν προτέρας χάριτας ἐδίδους ἡμῖν, ταύτην δὲ τῇ σῇ κρίσει δώσεις, ἐπειδή γε ἅπαξ ὥρμησας παραμυθεῖσθαι τὸ γῆρας ἡμῶν, καὶ τὴν ἀσθένειαν ταῖς τοιαύταις τιμαῖς, προσθήσω δέ, ὅτι καὶ τὸ θεῖον ἀεὶ σεαυτῷ ποιεῖς εὐμενέστερον.

ΤΟ ΙΣΟΝ ΤΗΣ ΔΙΑΘΗΚΗΣ

Γρηγορίου τοῦ Ναζιανζηνοῦ

γρ. Συαγρίου Ὑπατείᾳ Φλαβίου Εὐχερίου, καὶ Φλαβίου Εὐαγρίου, τῶν λαμ-
προτάτων, πρὸ μιᾶς καλανδῶν Ἰανουαρίων.

Γρηγόριος ἐπίσκοπος τῆς Καθολικῆς ἐκκλησίας τῆς ἐν Κων-
σταντίνου πόλει, ζῶν καὶ φρονῶν, καὶ ὑγιὴς γνώσει, καὶ ἐρρωμένοις
τοῖς λογισμοῖς, διεθέμην τὴν διαθήκην μου ταύτην, ἣν κε-
λεύω καὶ βούλομαι εἶναι βεβαίαν ἐπὶ παντὸς δικαστηρίου καὶ πάσης
γρ. βεβαίαν εἶναι καὶ κυρίαν ἐξουσίας. ἤδη μὲν γὰρ τὴν ἐμαυτοῦ γνώμην κατέστησα φανε-
ράν, καὶ πᾶσάν μου τὴν οὐσίαν καθιέρωσα τῇ καθολικῇ ἐκκλη-
σίᾳ τῇ κατὰ Ναζιανζόν, εἰς τὴν τῶν πτωχῶν διακονίαν, τὴν
ὑπὸ τὴν εἰρημένην ἐκκλησίαν. διὸ γὰρ καὶ τρεῖς προεστησά-
μην πτωχοτρόφους, ἕνεκα ταύτης μου τῆς προαιρέσεως· Γρη-
γόριον τὸν διάκονον καὶ [μονάζοντα, τὸν] γενόμενον ἐκ τῆς οἰκίας
μου· Μάρκελλον τὸν διάκονον καὶ μονάζοντα, τὸν καὶ αὐτὸν ἐκ τῆς
οἰκίας μου γενόμενον· καὶ Εὐστάθιον μονάζοντα, τὸν καὶ αὐτὸν ἐκ τῆς
οἰκίας μου γενόμενον. καὶ νῦν δὲ τὴν αὐτὴν συνείδησιν τῇ ἁγίᾳ
ἐκκλησίᾳ τῇ κατὰ Ναζιανζὸν φυλάττων, ἔχομαι τῆς αὐτῆς προ-
αιρέσεως. ὅταν οὖν συμβῇ με τέλει τοῦ βίου χρήσασθαι, ἔστω
γρ. ἐὰν μου κληρονόμος ὁ προειρημένος Γρηγόριος διάκονος καὶ μονάζων,
ὁ γενόμενος ἐκ τῆς οἰκίας μου (ὃν πάλαι ἠλευθέρωσα) ἐξ ὁλοκλή-
ρου πάσης μου τῆς οὐσίας, κινητῆς τε καὶ ἀκινήτου, τῆς πανταχοῦ μοι
ὑπαρχούσης· τοὶ δὲ λοιποὶ πάντες ἔστωσάν μου ἀποκληρονό-
μοι. οὕτω μέντοι, ὥστε αὐτὸν πᾶσάν μου τὴν οὐσίαν, κινητήν τε καὶ
γρ. αὐτὴν ἀκίνητον, ἀποκαταστῆσαι τῇ ἁγίᾳ Καθολικῇ ἐκκλησίᾳ τῇ ἐν Να-
ζιανζῷ, μηδὲν δὲ παρασπᾶν ἐπεξελόμενον, πλὴν ὧν ἂν ἐν ταύ-
τῃ τῇ διαθήκῃ μου ἴσιν ἰδικῶς καταλίπω, λεγάτου ἢ φιδεικομ-
μίσσου χάριν· ἀλλὰ πάντα, ὡς προεῖπον, ἀκριβῶς ἀποσῶσαι
τῇ ἐκκλησίᾳ, ἔχοντα τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν, καὶ εἰδότα,

ὅτι εἰς διακονίαν τῶν πτωχῶν τῆς αὐτῆς ἐκκλησίας προσέταξα παρ' ἐμοῦ τὴν οὐσίαν παραχωρῆσαι, καὶ ἐπὶ τούτῳ αὐτὸν ἐνεστησάμην κληρονόμον, ὥστε δι' αὐτοῦ τῇ ἐκκλησίᾳ πάντα ἀπαραλείπτως ἀποσωθῆναι. Τοὺς δὲ οἰκέτας, οὓς ἠλευθέρωσα, εἴτε ἐξ ἐμῆς προαιρέσεως, εἴτε ἐξ ἐντολῶν τῶν μακαριωτάτων γονέων μου, τούτους βούλομαι καὶ νῦν ἐπ' ἐλευθερίας μένειν, καὶ τὰ πεκούλια αὐτοῖς γρ. ἐλευθέρως πάντα μένειν βεβαίως καὶ ἀνενοχλήτως· ἔτι βούλομαι κατασχεῖν τὸν γρ. ἀνενόχλητα κληρονόμον μου Γρηγόριον τὸν διάκονον ἅμα τῷ μονάζοντι Εὐσταθίῳ, τοὺς γενομένους ἐκ τῆς οἰκίας μου ποτὲ, κτῆμα ἐν Ἀριανζοῖς, τὸ ἐκ τῆς Ῥηγίνου καταλειφθὲν εἰς ἡμᾶς. τὰ δὲ φοράδια, καὶ τὰ πρόβατα, ἃ ἤδη αὐτοῖς παρ' ὧν ἐκέλευσα δοθῆναι, ὧν καὶ τὴν νομὴν αὐτοῖς καὶ τὴν δεσποτείαν παρέδωκα, ταῦτα μένειν αὐτοῖς ἀνενόχλητα βούλομαι δεσποτείας δικαίῳ. ἔτι δὲ ἐξαιρέτως Γρηγόριον τὸν διάκονον καὶ κληρονόμον μου, γνησίως ὑπηρετήσαντά μοι, βούλομαι κατασχεῖν ἰδίῳ δεσποτείας δικαίῳ χρυσία τὸν ἀριθμὸν πεντήκοντα. τῇ αἰδεσιμωτάτῃ γρ. ἑκαστὸν παρθένῳ Ῥουσιανῇ, τῇ συγγενίδι μου, ῥητὰ ἐκέλευσα καθ' ἕκαστον ἔτος δίδοσθαι πρὸς τὸ ἐλευθερίως αὐτὴν διάγειν· ἅπερ βούλομαι καὶ κελεύω πάντα κατὰ τὸν τύπον, ὃν προσέταξα, ἀνυπερθέτως αὐτῇ δίδοσθαι καθ' ἕκαστον ἔτος. περὶ δὲ διοικήσεως αὐτῆς, τότε μὲν οὐδὲν διεταξάμην, μὴ εἰδὼς ποῦ μᾶλλον αἱρετόν ἐστιν αὐτῇ διάγειν. νῦν δὲ καὶ οὕτω γρ. ἄριστον βούλομαι, ὥστε, ἐν οἵῳ ἂν ἐπιλέξηται χωρίῳ, κατασκευασθῆναι αὐτῇ οἰκίαν ἐλευθέραν, πρέπουσαν εὐσχήμονι διαγωγῇ παρθένου· ἥνπερ οἰκίαν ἕξει δηλαδὴ ἀνενοχλήτως εἰς χρῆσιν καὶ καρπίαν μέχρι τέλους γρ. -ρα ζωῆς· μετὰ δὲ ταῦτα ἀποκαταστήσει τῇ ἐκκλησίᾳ. προστεθῆναι δὲ γρ. βίου ζωῆς αὐτῇ βούλομαι καὶ δύο κόρας, ἃς ἂν αὐτὴ ἐπιλέξηται, οὕτω μέντοι, ὥστε αὐτῇ παραμεῖναι τὰς κόρας μέχρι τοῦ τῆς ζωῆς αὐτῆς χρόνου. καὶ εἰ μὲν αὐτῇ εὐχαριστήσειεν, ἐξεῖναι αὐτῇ ἐλευθερίᾳ αὐτὰς τιμῆσαι· εἰ δὲ γρ. αὐτοῦ ἀλ. αὐταῖς μὴ, καὶ αὐτὰς διενεγκεῖν τῇ αὐτῇ ἐκκλησίᾳ. Θεόφιλον τὸν παῖδα τὸν παραμένοντά μοι, ἤδη ἠλευθέρωσα. βούλομαι δὲ αὐτῷ καὶ νῦν δοθῆναι λεγάτου χάριν νν ε. Εὐπράξιον δὲ τὸν ἀδελφὸν αὐτοῦ βούλομαι γρ. ρρε.

ἐλεύθερον

χ. ϛρε. ἐλεύθερον εἶναι, καὶ δοθῆναι αὐτῷ λεγάτου λόγῳ χρυσᾶ νομίσματα ε. ἔτι βούλομαι Θεοδόσιον τὸν Νοτάριόν μου ἐλεύθερον εἶναι, δοθῆναι δὲ αὐτῷ καὶ λεγάτου λόγῳ χρυσᾶ νομίσματα ε. τὴν γλυκυτάτην μοι θυγατέρα Ἀλυπιανὴν (τὴν γὰρ ἄλλων, Εὐγενίας τε καὶ Νόννης ὀλίγος λόγος, ὧν καὶ ὁ βίος ἐπιλήψιμός ἐστι) βούλομαι συντιμωμένην ἔχειν μοι, εἰ μηδὲν αὐτῇ καταλιπεῖν κύριος ἐγενόμην, πάντα προεπαγγειλάμενος τοῖς πτωχοῖς, μᾶλλον δὲ τοῖς μακαριωτάτοις γονεῦσιν ὑποσχομένοις ἀκολουθήσας, ὧν ἀθετῆσαι τὴν γνώμην οὔτε ὅσιον, οὔτε ἀσφαλὲς ἡγοῦμαι. ὅσα μέντοι ἐκ τῆς τοῦ μακαρίου μου ἀδελφοῦ Καισαρίου πραγματείας, ἐν ἐσθῆτι σηρικῇ ἢ λινῇ, ἢ ἐρέᾳ ἢ βυρρικαλίοις περιλέλειπται, ταῦτα διαφέρειν τοῖς τέκνοις αὐτῆς βούλομαι, καὶ ἐν μηδενί, μήτε ἐκείνην, μήτε τὰς ἀδελφὰς αὐτῆς ἐνοχλεῖν, μήτε τὸν κληρονόμον μου, μήτε τὴν ἐκκλησίαν. Μηδ᾽ ἔπος ὁ γαμβρός μου, τὸ κτῆμα τὸ ἐν Ἀπιζήσῳ τὸ ἐκ τοῦ Εὐφημίου, ἴστω κακῶς κατέχων. καὶ ὑπὲρ τούτου καὶ πρότερον ἐπέστειλα πολλάκις τῷ Εὐφημίῳ, διανδρίαν αὐτοῦ καταγινώσκων, εἰ μὴ τὸ ἑαυτοῦ ἀναρρύσηται. καὶ νῦν μαρτύρομαι πάντας καὶ ἄρχοντας καὶ ἀρχομένους, ὅτι ἀδικεῖται ὁ Εὐφήμιος. χρὴ γὰρ Εὐφημίῳ ἀποκατασταθῆναι τὸ κτῆμα. τὴν ὠνὴν τοῦ κυρίου Κλμηταλων τῷ αἰδεσιμωτάτῳ υἱῷ τῷ ἐπισκόπῳ Ἀμφιλοχίῳ ἀποκατασταθῆναι βούλομαι. ἔστι γὰρ ἐν τοῖς χαρτίοις ἡμῶν, καὶ πάντες ἴσασιν, ὅτι τὸ συνάλλαγμα ἐλύθη, καὶ τὴν τιμὴν ἀπέλαβον καὶ τὴν γνώμην, καὶ δεσποτείαν τοῦ κτήματος πάλαι παρέδωκα. Εὐαγρίῳ τῷ διακόνῳ πολλά μοι συγκαμόντι καὶ συνεκφροντίζοντι, διὰ πλειόνων τε τὴν εὔνοιαν παραστήσαντι, χάριν ὁμολογῶ καὶ ἐπὶ Θεοῦ καὶ ἐπὶ ἀνθρώπων· καὶ τοῖς μείζοσι μὲν Θεὸς αὐτὸν ἀμείψαιτο· ἵνα δὲ μηδὲ τὰ μικρὰ τῆς φιλίας σύμβολα παρ᾽ ἡμῶν ἐλλείπῃ, βούλομαι αὐτῷ δοθῆναι κάμασον α. στιχάριον α. πάλλια β. χρυσᾶ νομίσματα λ. ὁμοίως καὶ τῷ γλυκυτάτῳ συνδιακόνῳ Θεοδούλῳ τῷ ἡμῶν ἀδελφῷ δοθῆναι βούλομαι κάμασον α. στιχάρια β. τὰ ἐν τῇ πατρίδι χρυσᾶ νομίσματα κ. ἔκ τε ἐν τῇ πατρίδι λοιποῦ. Ἐλαφίῳ τῷ Νοταρίῳ ὑπηρέτῃ ὄντι, καὶ καλῶς ἡμᾶς ἀναπαύσαν-

Margin notes: χ. ϛρε. — χ. ρρε. — γ. ῥύσαιτο — γ. Κανοτίλων — γ. παρυσάντι — χ. ρρλ. — χ. κ. ν. — χ. τῶ

πὸν ὑπηρετήσαντα χρόνον, βούλομαι δοθῆναι χρήματα ταῦτα. στιχάρια β. πάλλια γ. σαγίλλιον α. ἐν τῇ πατρίδι χρυσᾶ ν' κ. χ. σπιλλιῶνα

Ταύτην μὲν τὴν διαθήκην κυρίαν καὶ βεβαίαν εἶναι βούλομαι ἐπὶ παντὸς δικαστηρίου καὶ πάσης ἐξουσίας. Εἰ δὲ καὶ ὡς διαθήκη μὴ ἰσχύσειεν, ὡς βούλησιν, εἴτ' οὖν κωδικίλλιον αὐτὴν ἰσχύειν βούλομαι. ὁ δ' ἐπιχειρῶν αὐτὴν ἀνατρέπειν, δώσει λόγον ἐν ἡμέρᾳ κρίσεως, καὶ ἕξει τὸν λόγον. Πρὸς τοὔνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. Γρηγόριος ἐπίσκοπος τῆς Καθολικῆς ἐκκλησίας τῆς ἐν Κωνσταντίνου πόλει, ἀναγνοὺς τὴν διαθήκην, καὶ ἀρεσθεὶς πᾶσι τοῖς γεγραμμένοις, ὑπέγραψα χειρὶ ἐμῇ, καὶ ἰσχύειν αὐτὴν κελεύω καὶ βούλομαι. Ἀμφιλόχιος ἐπίσκοπος τῆς Καθολικῆς ἐκκλησίας τῆς ἐν Ἰκονίῳ, παρὼν τῇ διαθήκῃ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Γρηγορίου, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ. Ὄπτιμος ἐπίσκοπος τῆς κατὰ Ἀντιόχειαν Καθολικῆς ἐκκλησίας παρὼν διατιθεμένῳ τῷ αἰδεσιμωτάτῳ Γρηγορίῳ κατὰ τὰ προγεγραμμένα, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

Θεοδόσιος ἐπίσκοπος τῆς Καθολικῆς ἐκκλησίας τῆς ἐν Ὕδῃ παρὼν τῇ διαθήκῃ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Γρηγορίου, καὶ παρακληθεὶς παρ' αὐτοῦ, ὑπέγραψα χειρὶ ἐμῇ.

Θεόδουλος ἐπίσκοπος τῆς ἁγίας Καθολικῆς ἐκκλησίας τῆς κατὰ Ἀπάμειαν παρὼν, καὶ τὰ ἑξῆς. Ἰλάριος ἐπίσκοπος τῆς Καθολικῆς ἐκκλησίας τῆς κατὰ Ἰσαυρίαν παρὼν, καὶ τὰ ἑξῆς.

Θεμίστιος ἐπίσκοπος τῆς Καθολικῆς ἐκκλησίας τῆς κατὰ Ἀδριανούπολιν παρὼν, καὶ τὰ ἑξῆς. Κληδόνιος πρεσβύτερος τῆς ἐν Ἰκονίῳ ἐκκλησίας παρὼν, καὶ τὰ ἑξῆς.

Ἰωάννης τῆς ἁγιωτάτης ἐκκλησίας τῆς ἐν Ναζιανζῷ ἀναγνώστης καὶ Νοτάριος, ἀντίγραφον τῆς θείας διαθήκης τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ πάνυ, τοῦ Θεολόγου, ἐν τῇ ἐμῇ κειμένης ἐκκλησίας, μετέγραψα καὶ ἐξέδωκα.

ΣΥΝΑΓΩΓΗ

ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ ΩΝ Ε-μνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος τῷ ἐν τῷ πρώτῳ στηλιτευτικῷ.

Ὁ Λόγος ὁ στηλιτευτικὸς, ψόγος ἐστὶ τῶν Ἰουλιανῷ πεπραγμένων. διαφέρει δὲ ψόγου ὁ στηλιτευτικὸς, ὅτι ὁ μὲν ψόγος, διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων πρόσερχεται, οἷον γένους, ἀνατροφῆς, πράξεων, συγκρίσεως. στηλιτευτικὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῆς στήλης· στήλη δέ ἐστιν, ἢ λίθος, ἢ χαλκὸς, ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾗ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. οἷον Ἀθηναῖοι τὸν Ζηλείτην Ἄρθμιον, τὸν διαφθείραντα τοὺς Ἕλληνας χρήμασιν, ἐπὶ τῷ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἐν στήλῃ ἀνέγραψαν, ἀτιμώσαντες καὶ αὐτὸν καὶ ἄτιμον τὸ γένος αὐτοῦ, ἐξουσίαν δεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ αὐτὸν ἀποκτεῖναι, ἐγγράψαντες καὶ τὴν αἰτίαν ἐν αὐτῇ τῇ στήλῃ, ἥτις ἦν αὐτῷ τῷ Ἀρθμίῳ ψόγος· ὅτι, φησὶ, τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων εἰς Πελοπόννησον ἤγαγεν. Δημοσθ. φιλ. Γ Εἰδέναι δὲ χρὴ, ὅτι πολλάκις, καὶ εὐεργετῶν αἱ εὐεργεσίαι ἐν ταῖς στήλαις ἀνεγράφοντο, ὥσπερ ἡ τοῦ Λεύκωνος, τοῦ ἄρχοντος Βοσπόρου ἀνεγράφη ἐν Ἀθήναις. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· περὶ δὲ τῶν ἱστοριῶν, ὡς οἷόν τε, διὰ βραχυτάτων ἐπιμνησθησόμεθα.

Περὶ Ἐμπεδοκλέους καὶ Ἀρισταίου, καὶ Ἐμπεδοτίμου, καὶ Τροφωνίου.

Ὁ μὲν Ἐμπεδοκλῆς Σικελιώτης ἦν τὸ γένος, Πυθαγόρειος δὲ τὴν φιλοσοφίαν. βουλόμενος δὲ κενοδοξῆσαι, ὡς ὅτι ἀνιερώθη καὶ μετάρσιος γέγονεν εἰς οὐρανοὺς, ἔβαλεν ἑαυτὸν ἐν τῷ ἀναδιδομένῳ πυρὶ τῆς Αἴτνης. τοῦτο δὲ τὸ πῦρ λέγεται, οἱ τοῦ Ἡφαίστου κρατῆρες. καὶ αὐτὸς μὲν ἀπώλετο ὑπὸ τοῦ πυρός. ὁ δὲ Θεὸς βουλόμενος δημοσιεῦσαι αὐτοῦ τὴν κενοδοξίαν, τὸ σάνδαλον αὐτοῦ ἀποπτυσθῆναι σῶον ἐκ τοῦ πυρὸς ἐποίησε. καὶ οὕτως ἐγνώσθη πᾶσιν ὅτι Θεὸς μὲν οὐ γέγονε, κατεκάη δὲ εἰς τέλος ἀξίως τῆς οἰκείας κενοδοξίας.

ὧν δὲ περὶ τὸν Τροφώνιον καὶ Ἐμπεδότιμον καὶ Ἀρισταῖον ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας, πόλεως Λεβαδίας, μάντεις δὲ ταῖς τέχναις· καὶ οὗτοι βουλόμενοι κενοδοξῆσαι καὶ δεῖξαι ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ἔν τισιν ὑποβρυχίοις σπηλαίοις ἔβαλον, ἐπὶ τῷ τεθνάναι, καὶ μὴ εὑρεθῆναι αὐτῶν τὰ λείψανα. οὗτοι δὲ τεθνήκασιν· ἐγνώσθησαν δὲ ὅτι ἐκεῖσε ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι περὶ τῶν τόπον. ἔστι δέ τις παροιμία ἡ λέγουσα, Εἰς Τροφωνίου μεμάντευται. λέγεται δὲ ἐπὶ τῶν ὠχριώντων, καὶ μηδέποτε γελώντων. πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνήει καὶ ὠχριῶν διηνεκῶς. ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριάσαντες, καὶ μηδέποτε ἐν τῷ ὑποβρυχίῳ γελάσαντες τεθνήκασιν. ἠξιώθησαν δὲ ὁ Τροφώνιος καὶ Ἀγαμήδης ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι, διὰ τὸ κτίσαι αὐτοὺς ἀπὸ οἰκείων χρημάτων τὸ ἱερὸν τὸ ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος.

β. Περὶ τοῦ Πρωτέως.

Οὗτος ὁ Πρωτεὺς Αἰγύπτιος μὲν ἦν τὸ γένος· εἶχε δὲ δύο υἱοὺς, Μάλον καὶ Τηλέγονον. τούτους λῃστὰς ὄντας ὁ Ἡρακλῆς ἐλθὼν ἀπέκτεινεν ἀπερχόμενος διὰ τὰς τοῦ Γηρυόνου βόας. τοῦτον οὖν ἀθυμοῦντα τὸν Πρωτέα διὰ τὴν ἀποβολὴν τῶν τέκνων, καὶ ῥίψαντα ἑαυτὸν εἰς θάλασσαν, οἱ θεοὶ ἐλεήσαντες ἀπηθανάτισαν, καὶ γέγονε δαίμων θαλάττιος, καὶ ἔρχεται καὶ οἰκεῖ τὴν Φαρίαν νῆσον. οὗτος λέγεται καὶ μετὰ τῶν φωκῶν ἐνδιαιτᾶσθαι. οὗτος καὶ τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἔλαβεν ἐλθόντος ἀπὸ τῆς Ἑλλάδος, καὶ δέδωκεν αὐτῷ τὸ εἴδωλον τῆς Ἑλένης. ὕστερον δὲ Μενελάου μετὰ τὸν Τρωϊκὸν πόλεμον μαθόντος ὡς εἰς Αἴγυπτόν ἐστιν ἡ Ἑλένη, καὶ ἐλθόντος παρὰ τὸν Πρωτέα, δέδωκεν αὐτὴν αὐτῷ. λέγεται δὲ οὗτος ὁ Πρωτεὺς μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας, καὶ ποτὲ μὲν φαίνεσθαι τοιόσδε, ποτὲ δὲ τοιόσδε.

γ. Περὶ Ἡρακλέους καὶ τῆς πυρᾶς αὐτοῦ.

Πολὺς μὲν ὁ λόγος θρυλλεῖ τὸν Ἡρακλέα, ὅτι υἱὸς ὢν τοῦ Διὸς καὶ Ἀλκμήνης, ἥρως τε ὤν, τοὺς δώδεκα ἄθλους ἐξήνυσεν. ἡ δὲ νῦν ἐν τῷδε τῷ χωρίῳ περὶ τῆς πυρᾶς ἱστορία ἐστὶν αὕτη. οὗτος ὁ

Ἡρακλῆς

Ἡρακλῆς εἶχε γυναῖκα ὀνόματι Δηϊάνειραν, ἣν ἔλαβεν ἐξ Οἰνέως, ἀντεραστὴς γενόμενος Ἀχελώῳ τῷ ποταμῷ· ἐξ ἧς ἔτεκε καὶ τὸν Ὕλλον. ταύτην τοίνυν τὴν Δηϊάνειραν, ἅμα τῷ λαβεῖν καὶ ἀποφέρειν ἐν τῇ οἰκείᾳ πατρίδι, ἰδὼν ὁ Νέσσος εἷς τῶν Ἱπποκενταύρων, ἠράσθη αὐτῆς, καὶ κατά τινα ποταμὸν ἠβουλήθη αὐτῇ συγγενέσθαι. ὁ οὖν Ἡρακλῆς μαθὼν, κατατοξεύει τὸν Νέσσον. ἀποθνήσκων δὲ ἐκεῖνος, ἐκ τοῦ αἵματος ἑαυτοῦ δίδωσι τῇ Δηϊανείρᾳ, ὑπειπών τε καὶ ἀπατήσας, ὅτι ἔσται σοι τοῦτο τὸ αἷμα πρὸς φίλτρον τοῦ Ἡρακλέους. ἵνα, φησὶν, ἐὰν μάθῃς ὅτι ἄλλης ἐρᾷ, χρίσῃς ἐκ τοῦ αἵματος τούτου τὸ ἔνδυμα τοῦ Ἡρακλέους, καὶ μεθιστᾷς αὐτὸν εἰς τὸν ἑαυτῆς πόθον. τοῦτο οὖν τὸ αἷμα εἶχεν ἡ Δηϊάνειρα. τοῦ οὖν Ἡρακλέους τῆς Ἰόλης τῆς τοῦ Εὐρύτου θυγατρὸς ἐρασθέντος καὶ λαβόντος, καὶ διὰ τοῦ Λίχα πέμψαντος αὐτὴν ὡς αἰχμάλωτον πρὸς τὴν Δηϊάνειραν, εἰς ἔννοιαν καὶ ζηλοτυπίαν ἐκινήθη ἡ Δηϊάνειρα, καὶ βουληθεῖσα τὸν ἔρωτα μεταστῆσαι εἰς ἑαυτὴν, τὸν χιτῶνα τοῦ Ἡρακλέους χρίει τῷ αἵματι τοῦ Νέσσου, καὶ δίδωσιν ἐνδύσασθαι τῷ Ἡρακλεῖ, τὸ δὲ ἦν ἀνδροφόνον τὸ αἷμα. ἐνδυσαμένου γὰρ τοῦ Ἡρακλέους, ὑφῆψεν ὁ χιτὼν, καὶ κατέφλεξεν αὐτόν· ὃς δὲ καιόμενος καὶ ῥίψας ἑαυτὸν ἐν τῷ πλησίον ποταμῷ, θερμὸν τὸ ὕδωρ ἐποίησεν· ἐξ οὗ λοιπὸν γεγόνασιν αἱ Θερμοπύλαι, μεταξὺ Θετταλίας καὶ Φωκίδος. δ.

Περὶ τῆς Πέλοπος κρεουργίας.

Τάνταλος Φρυγίας ἦν βασιλεύς· οὗτος γεννᾷ τὸν Πέλοπα. τούτῳ τῷ Ταντάλῳ ποτὲ οἱ Θεοὶ ἐπεξενώθησαν. λαβὼν οὖν τὸν Πέλοπα τὸν ἴδιον υἱὸν ὁ Τάνταλος, κατασφάττει, καὶ κρεουργεῖ, καὶ ἕψει, καὶ παρατίθησιν εὐωχίαν τοῖς Θεοῖς. τούτων δὲ τῶν κρεῶν, ἡ Δημήτηρ βαλοῦσα χεῖρα, ἔλαβε καὶ ἔφαγεν ἀπὸ τοῦ ὤμου· οἱ δὲ ἄλλοι Θεοὶ ἐλεήσαντες τὸν Τάνταλον, καὶ θαυμάσαντες ὅτι τοῦ παιδὸς αὐτοῦ κατεφρόνησε, συνετίθεασι τὰ κρέα, καὶ ἀποτελοῦσι σῶον τὸν Πέλοπα. ἦν δὲ λοιπὸν ἐκεῖνο ὃ ἔφαγεν ἐκ τοῦ ὤμου ἡ Δημήτηρ. προσθέντες οὖν ἐλεφάντινόν τι κατὰ τὸν ὦμον, ἐπλήρωσαν

σαν σῴζον τὸν Πέλοπα. οὕτω οὖν λοιπὸν ἅπαν τὸ Πελοπιδῶν γένος ἐκ τούτου τὸ ἐπίσημον, ἔχοντες πάντες ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον.

ε. Περὶ τῆς τῶν Φρυγῶν ἐκτομῆς.

Κατὰ τὴν Φρυγίαν ἐσέβοντο τὴν μητέρα τῶν Θεῶν τὴν Ῥέαν τὴν ὑπὲρ πάντα Θεόν. ταύτῃ οὖν τὰς τελετὰς ποιοῦντες οἱ Φρύγες, κατέτεμνον ἑαυτοὺς μαχαίραις, οὐκ ἀποκτεῖναι ἐθέλοντες, ἀλλὰ μόνον αἱμάξαι. τοῦτο δὲ ἐποίουν κηλούμενοι αὐλοῖς, ἵνα ἀπόνως φέρωσι πληττόμενοι. μετὰ δὲ τὰς πληγάς, πρὸς ἀκαθάρτοις μίξεις ἐχώρουν, γυναικῶν δὴ λέγω, οὐκ ἀνδρῶν.

ς. Περὶ τοῦ Μίθρου.

Ὁ τοίνυν Μίθρας νομίζεται παρὰ Πέρσαις εἶναι ὁ ἥλιος, καὶ θυσιάζουσιν αὐτῷ, καὶ τελοῦσί τινας τελετὰς εἰς αὐτόν. οὐ δύναται οὖν τις εἰς αὐτὸν τελεσθῆναι, εἰ μὴ πρότερον διὰ τῶν βαθμῶν τῶν κολάσεων παρέλθοι. βαθμοὶ δέ εἰσι κολάσεων, τὸν μὲν ἀριθμὸν ὀγδοήκοντα, ἔχοντες δὲ ὑπόβασιν καὶ ἀνάβασιν. κολάζονται γὰρ πρότερον τὰς ἐλαφροτέρας, εἶτα τὰς δραστικωτέρας· καὶ εἶθ' οὕτω μετὰ τὸ περελθεῖν διὰ πασῶν τῶν κολάσεων, τότε τελεῖται ὁ τελούμενος. αἱ δὲ κολάσεις εἰσὶ, τὸ διὰ πυρὸς παρελθεῖν, τὸ διὰ κρύους, διὰ πείνης καὶ δίψης, διὰ ὁδοιπορίας πολλῆς, καὶ ἁπλῶς διὰ πασῶν τῶν τοιούτων.

ζ. Περὶ τῆς ἐν Ταύροις ξενοκτονίας.

Ταῦροι ἔθνος ἐστὶ περὶ τὴν Σκυθίαν. ἐν τούτοις μετετέθη ὑπὸ τῆς Ἀρτέμιδος ἡ θυγάτηρ Ἀγαμέμνονος ἡ Ἰφιγένεια, ἐν τῷ μέλλειν αὐτὴν θύεσθαι ὑπὸ τῶν Ἑλλήνων ἐν τῇ Αὐλίδι· ὑπὲρ ἧς ἔλαφον ἡ Θεὸς ἀμείψασα, δέδωκε θῦσαι. αὕτη οὖν ἡ Ἰφιγένεια, οὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι παρὰ τῶν ἐπιξενουμένων τίς ἐστιν, ἐπέτρεπε θύειν αὐτοὺς τῇ Ἀρτέμιδι. καὶ αὕτη ἦν ἡ ξενοκτονία, ἣν λέγει ὁ θεῖος Γρηγόριος. ὕστερον δὲ ὁ Ὀρέστης δειματούμενος ὑπὸ τῶν Ἐριννύων, καὶ ἐλθὼν παρὰ τοῖς Ταύροις, καὶ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει, καὶ προσενεχθεὶς ὡς ἱερεία τῇ Ἰφιγενείᾳ, ἐπεγνώσθη διὰ τοῦ ἐλεφαντίνου ὤμου καὶ ἀφείθη τῆς θυσίας· οὕτω λοιπὸν λαβὼν ὁ Ὀ-

ρέστης

ρέτης τὴν ἰδίαν ἀδελφὴν, λέγω δὴ τὴν Ἰφιγένειαν, κομίζει εἰς τὴν Ἑλλάδα.

η. Περὶ τῆς ἐπὶ Τροίαν θυσίας τῆς βασιλικῆς κόρης.

Πολυξένη ἐστὶ θυγάτηρ Πριάμου, ἣν ὁ Ἀχιλλεὺς βουληθεὶς γῆμαι, εἰσῆλθεν ἐν τῇ Τροίᾳ· καὶ κατὰ λόγον τινὰ τοξεύεται ὑπὸ Πάριδος ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος, καὶ ἀποθνήσκει· ἐν ὑστέρῳ δὲ χρόνῳ ἀνδρωθέντι Πύρρῳ τῷ υἱῷ αὐτοῦ, ἔφαινε κατ' ὄναρ, δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην δι' ἣν ἀπώλετο. καὶ ὁ Πύρρος ὢν ἐν Τροίᾳ, καὶ πυρπολήσας τὸ Ἴλιον, ταύτην μετὰ τὴν νίκην λαβὼν, σφάττει ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως τοῦ οἰκείου πατρός.

θ. Περὶ τοῦ Μενοικέως.

Ὁ Μενοικεὺς Κρέοντος ἦν υἱὸς, βασιλέως Θηβῶν. πολεμουμένης οὖν τῆς ἰδίας πατρίδος τῶν Θηβῶν, ὑπὸ τῶν ἑπτὰ στρατηγῶν, ἐχρησμῴδησε Τειρεσίας μάντις ὢν παραυτίκα παύσασθαι τὸν πόλεμον, καὶ ἔσεσθαι αὖθις νίκην, εἰ τοῦ βασιλικοῦ γένους τῶν αὐτοχθόνων, τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντος, τις ἑαυτὸν δῷ τῷ πατρὸς ἀναίρεσιν. μαθὼν τοῦτο ὁ Μενοικεὺς, καὶ θέλων ἐλευθερῶσαι τῆς πολιορκίας τὴν πόλιν, δέδωκεν ἑαυτὸν πρὸς ἀναίρεσιν, δίχα τοῦ πατρὸς αὐτοῦ Κρέοντος.

ι. Περὶ τῶν Σκεδάσου θυγατέρων.

Οἱ Λακεδαιμόνιοι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μετὰ τὸ κατὰ κράτος νικῆσαι τοὺς Ἀθηναίους, ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι· καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγίσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις (πόλις δὲ αὕτη Θηβῶν) συμβαλόντες ἡττήθησαν, Ἐπαμινώνδου στρατηγοῦ Θηβαίων εὐδοκιμήσαντος· τὸ δὲ πάθος τοῖς Λακεδαιμονίοις γέγονεν ἐν Λεύκτροις ἐξ αἰτίας τοιαύτης. Σκέδασος Λευκτραῖος ὢν, εἶχε τρεῖς θυγατέρας. τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες, μίξει τὰς κόρας ἐνύβρισαν· φοβηθέντες οὖν οἱ Λακεδαιμόνιοι, μήπως δημοσιεύσωσι τῷ ἰδίῳ πατρὶ τὴν ἀσέλγειαν, ἀνειρήκασιν αὐτάς. ἐπανελθὼν δὲ ἐν τῇ ἰδίᾳ πόλει τοῖς Λεύκτροις ὁ Σκέδασος, καὶ μαθὼν τὸ γεγονός, κατηράσατο πᾶσι Λακεδαιμονίοις, παρ' αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ ἀτυχῆσαι. διὸ καὶ

ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους.

ιδ. Περὶ τῶν Λακωνικῶν ἐφήβων.

Οἱ Λακεδαιμόνιοι βουλόμενοι καρτερικοὺς καὶ ἀνδρείους εἶναι τοὺς ἑαυτῶν πολίτας καὶ παῖδας, ἐγύμναζον ταῖς μαστιγώσεσι, καὶ τῷ ἐπὶ πλέον καρτερήσαντι ἆθλον ἐδίδοτο.

ιε. Περὶ τῆς Ἀρτέμιδος.

Τὸ γὰρ κατὰ τὴν Ἄρτεμιν· αὕτη παρθένος οὖσα καὶ σώφρων ἡ θεὸς, ἔχαιρε τοῖς αἵμασι τῆς ξενοκτονίας τιμᾶσθαι.

ιγ. Περὶ τῆς κωνείου τοῦ Σωκράτους.

Σωκράτης ὁ μὲν γένος ἦν Ἀθηναῖος, φιλόσοφος δὲ τὴν παίδευσιν. τοῦτον ὡς δαιμόνια καινὰ παρεισφέροντα τῇ πολιτείᾳ ἦπερ ἀπάντων Ἄνυτος καὶ Μέλιτος· κατεκρίθη οὖν ὡς διαφθείρων τοὺς νέους ἀποθανεῖν πιόντα κώνειον· καὶ πιὼν ἀπέθανεν.

ιδ. Περὶ τοῦ Επικτήτου σκέλους.

Επίκτητος φιλόσοφος ἦν· οὗτος ἐδέθη ὑπὸ τυράννου τὸ σκέλος· ὕστερον δὲ ἠβουλήθη λῦσαι αὐτὸν ὁ τύραννος. ἠρώτα οὖν αὐτὸν οὕτω· θέλεις, ὦ Επίκτητε, λύσω σε; ὁ δὲ ἀπεκρίνατο· τί γὰρ, δέδεμαι; ὡς τῆς ψυχῆς αὐτοῦ δῆθεν μὴ δεδεμένης. λέγεται οὖν μὴ τὸ σῶμα εἶναι ἄνθρωπος, ἀλλ' ἡ ψυχή.

ιε. Περὶ Αναξάρχου.

Ανάξαρχος φιλόσοφος ἦν. οὗτος συλληφθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου, καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ. πτίσσεσθαι δέ ἐστι, τὸ δίκην πτισσομένης τύπτεσθαι· εἴρηται δὲ καὶ πτισάνη παρὰ τὸ πτίσσεσθαι. πτισσόμενος δὲ οὕτως ἔφη· πτίσσε πτίσσε τὸν Αναξάρχου θύλακον, οὐ γὰρ πτίσσεις Ανάξαρχον· ἀντιποιούμενος, οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι.

ιϛ. Περὶ τοῦ Κλεομβρότου πηδήματος.

Κλεόμβροτος Ἀμβρακιώτης τὸ γένος. πόλις δέ αὕτη ἐστὶ τῆς παλαιᾶς Ἠπείρου. ἐντυχὼν τῷ Φαίδωνι, τῷ περὶ ψυχῆς διαλόγῳ Πλάτωνος, καὶ μαθὼν ὡς ἄμεινόν ἐστι τῇ ψυχῇ ὁ χωρισμὸς τοῦ σώματος, ἐρρίψεν ἑαυτὸν ἀπὸ τοῦ τείχους, καὶ τέθνηκεν· ἵνα δῆθεν ἡ ψυχὴ αὐτοῦ ἐξελθοῦσα καθαρθῇ τοῦ σώματος.

ιζ. Περὶ τῶν κυάμων.

Πυθαγόρειοι γένος φιλοσόφων, ἐκ Πυθαγόρου τοῦ Σαμίου. οὗτοι δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα. παρεδίδοτο δὲ μετὰ τῶν ἄλλων καὶ τοῦτο τὸ αἴνιγμα· κυάμους μὴ ἐσθίειν· τουτέστι, μὴ παραδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασι.

οἱ γὰρ Ἀθηναίων πάλαι δικασταὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις· φησὶν οὖν ἐκ τῶν κυάμων τὸ ἐκ τοῦ δικαστηρίου, μὴ δεῖν ἐσθίειν.

ιη. Περὶ Θεανοῦς.

Αὕτη ἡ Θεανὼ ὑπὸ τυράννου συνελήφθη ἐπὶ τῷ εἰπεῖν τῆς πατρίδος τὰ ἀπόρρητα καὶ μὴ θέλουσα, τὴν ἑαυτῆς γλῶτταν ἀποδακοῦσα, ἐνέπτυσε τῷ τυράννῳ.

ιθ. Περὶ Ἐπαμινώνδα.

Ὁ Ἐπαμινώνδας ὁ γένος μὲν Θηβαῖος, στρατηγὸς μέγιστος, ὁ ἀριστεύσας ἐν τῷ Λευκτρικῷ πολέμῳ, μαθητὴς γενόμενος Φιλολάου τοῦ Πυθαγορείου· ἐπὶ τῶν πολέμων ἐνεκρατεύετο πάνυ καὶ ἀπὸ βρωμάτων καὶ ἀπὸ ἀφροδισίων καὶ πάσης ἡδυπαθείας. διὸ καὶ μέγιστα κατὰ Λακεδαιμονίων ἔστησε τρόπαια. ὁ δὲ Σκιπίων, καὶ αὐτὸς στρατηγὸς Ῥωμαίων, ὅμοιος κατὰ τὴν δίαιταν καὶ τὸ ἦθος Ἐπαμινώνδα, ἠρίστευσε δὲ καὶ αὐτὸς, ἐν τῷ πρὸς Χαρχηδονίους πολέμῳ, ὡς ἐκ τῆς νίκης τοῦ ἔθνους, τὴν ἐπωνυμίαν λαβεῖν καὶ κληθῆναι Σκιπίων Ἀφρικανός· Χαρχηδόνιοι γὰρ οἱ Ἀφροί.

κ. Περὶ τῶν ἀνιπτοπόδων καὶ χαμαιευνῶν.

Παρ' Ὁμήρῳ τῷ ποιητῇ Σελλοὶ ἔθνος Δωδωναῖον· ἐκ τούτων ἱερεῖς τῆς φηγοῦ προεβάλλοντο. αὕτη δὲ ἡ φηγὸς μαντεῖον ἦν τοῦ Διός, ἡ καλουμένη Δωδωναία δρῦς. οὗτοι οὖν οἱ ἱερεῖς, οἷα Θεοῦ ὄντες θεράποντες, ἀγνεύοντες οὔτε ἐλούοντο, οὔτε ἐν κλίνῃ ἐκάθευδον, ἀλλὰ χαμαί, ὡς φησιν ὁ ποιητὴς ἐν τούτῳ τῷ ἔπει·

---- ἀμφὶ δὲ Σελλοὶ

Σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι.

κα. Περὶ Σόλωνος ἀπληστίας.

Σόλων νομοθέτης ἦν Ἀθηναίων. οὗτος αἰτούμενος νομοθετῆσαι τοὺς νόμους, ἀπήτησε τοὺς πολίτας ὅρκους, ὅτι δὴ δεκαετίαν στέρξωσι καὶ ἐμμείνωσι τοῖς παρ' αὐτοῦ τεθειμένοις νόμοις· καὶ λοιπόν, εἰ μὴ συναρέσκουσιν αὖθις, τὸ τηνικάδε λύσωσι. τοῦτο δὲ ἐποίησεν, ἵνα τέως προσεθίσῃ αὖθις ἐμμεῖναι ἐπ' ὀλίγον χρόνον τοῖς νόμοις. ᾔδει γὰρ ὡς εἰ γεύσωνται τῆς νομοθεσίας, λοιπὸν δυσμεταθέτως ἀρέσουσιν αὐτοῖς. λαβὼν τοίνυν ὁ Σόλων τὸν ὅρκον παρὰ τῶν Ἀθηναίων, καὶ νομοθετήσας αὖθις, ἐξῆλθεν ἀπὸ Ἀθηνῶν ὀφεί-

λαι τὴν δεκαετίαν ἔξω ποιῆσαι. περιεπολλῶν οὖν τὰς πόλεις, ἦλθε καὶ εἰς Λυδίαν παρὰ Κροῖσον τὸν βασιλέα· ὃν ἐλθόντα ὁ Κροῖσος εἰς θαῦμα θέλων κινῆσαι, ἔπεμψεν εἰς τοὺς θησαυροὺς αὐτοῦ. ἐπανήκοντα δὲ ἀπὸ τῶν θησαυρῶν τὸν Σόλωνα, ἤρετο ὁ Κροῖσος, τίνα νομίζοι εὐδαιμονέστερον πάντων ἀνθρώπων, ὑπολαμβάνων, ὅτι δὴ αὐτὸν παρὰ πάντων εἴποι. ὁ δὲ Σόλων ἀπεκρίνατο, Τέλλον τὸν Ἀθηναῖον. ἐμείζετο γὰρ ὁ Σόλων, οὐ τὸν πλοῦτον καὶ τὴν περιφάνειαν εὐδαιμονίαν, ἀλλὰ τὸν ἀπαθῶς ζήσαντα, ἀποθανόντα δὲ ἀριστεύσαντα. νῦν οὖν ἄπληστοι καλοῦσι τὸν Σόλωνα, ὡς πλείονα πλοῦτον τοῦ Λυδίου χρυσοῦ ὀρεγόμενον θεάσασθαι. καὶ ὁ πλοῦτος δὲ εὐδαιμονία τις περὶ τὰ ἐκτός. τρεῖς δὲ εὐδαιμονίας οἶδεν ὁ λόγος· τὴν ἐν ψυχῇ ἀπάθειαν, τὴν ἐν σώματι ὑγείαν, τὴν περὶ τὰ ἐκτὸς πολυτέλειαν. ἐχρῆν οὖν τὸν Σόλωνα προσθεῖναι, ὅτι εἰ καὶ τῇ ψυχῇ ἦς ἄριστος, ἰσχυρὸς σοι ὁ πλοῦτος πρὸς τὴν περὶ τὰ ἐκτὸς εὐδαιμονίαν.

κβ. Περὶ Σωκράτους φιλοκαλίας.

Ὁ Σωκράτης φιλόσοφος ὢν περιῄει τὴν ἀγορὰν, καὶ τὰ μειράκια προετρέπετο ἐπὶ φιλοσοφίαν· καὶ μάλιστα ἐνόμιζεν εἶναι πρὸς φιλοσοφίαν ἐπιτήδεια τὰ περικαλλῆ μειράκια. τοὺς γὰρ εὐμόρφους λέγουσιν εἶναι καὶ εὐφυεῖς. ἦν οὖν δόξα παρὰ Ἀθηναίοις, ὅτι παιδεραστὴς ἦν ὁ Σωκράτης, διὰ τὸ ἐπιλέγεσθαι τοὺς εὐμόρφους. εὑρίσκεται δὲ καὶ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ, καὶ Πρωταγόρᾳ οὕτω λέγων περὶ Σωκράτους: οὐ καλὸς ὁ Θεαίτητος καὶ καλὸς ὁ Χαρμίδης. ἄντικρυς οὖν ἐν τοῖς λόγοις ἔμφασιν παρέχει ὁ Πλάτων, ὅτι Σωκράτης ὑπωπτεύθη τοιοῦτος εἶναι, διὰ τὰς τοιαύτας, ὡς εἶπον, ἀντερωτήσεις· οὐ καλὸς μὲν ἦν, οὐ τὴν ὄψιν, ἀλλὰ τὴν ψυχήν. ὑπενοήθη δὲ ὅτι καὶ τῷ Ἀλκιβιάδῃ συγγίνεται κατὰ τὸν αἰσχρὸν ἔρωτα. οἱ δὲ περὶ Σωκράτους λέγοντες φασιν ὅτι συνεγίνετο πᾶσιν, οὐ κατὰ τὸν ἐμπαθῆ ἔρωτα, ἀλλὰ κατὰ τὸν ἔνθεον.

κγ. Περὶ Πλάτωνος λιχνείας.

Πλάτων ὁ φιλόσοφος ἀκούων ὅτι μεγαλοφυὴς ὁ Διονύσιος ὁ τῆς Σικελίας τύραννος, ἔπλευσε πρὸς αὐτόν. καὶ τοῦτο μὲν ἐξηγη-

ται

ταὶ νέοι τοῦ Πλάτωνος, λέγουσιν ὅτι ἔπλευσε διὰ δύο αἰτίας· ἵνα καὶ ἱστορήσῃ τὸ ἐν τῇ Αἴτνῃ πῦρ ἀναδιδόμενον, καὶ ἵνα πείσῃ Διονύσιον φιλοσοφῆσαι. ὁ δὲ μακάριος Γρηγόριος φησιν, ὅτι διὰ τοῦτο ἀπῆλθεν ὁ Πλάτων ἐν Σικελίᾳ, διὰ τὴν πολυτέλειαν τῶν ἀρίστων, ὧν ἐποίει Διονύσιος· καὶ ποιεῖται τεκμήριον ὅτι ἀληθῶς διὰ τὴν λιχνείαν ἔπλευσε τὸ πραθῆναι αὐτὸν παρὰ Διονυσίου. ἐπράθη δὲ τῷ ὄντι Πόλλιδι τῷ ναυάρχῳ τῶν Λακεδαιμονίων διάγοντι τηνικαῦτα ἐκεῖσε· εἶτα ὁ Πόλλις ἐλθὼν εἰς Αἴγιναν, πωλεῖ αὐτὸν πεντήκοντα μνῶν τῷ Ἀννικέρῳ· πολλοὶ δὲ καὶ τῶν Στωικῶν ἀρχαῖοι φασιν, ὡς διὰ λιχνείαν πρὸς τὸν Διονύσιον ἀπῆλθεν ὁ Πλάτων, οἷς καὶ ὁ Γρηγόριος μᾶλλον (συντίθεται), καὶ οὐ τοῖς νεωτέροις Πλάτωνος ἐξηγηταῖς. λέγει δὲ καὶ ὁ Ξενοφῶν εἰς τὴν πρὸς Αἰσχίνην ἐπιστολήν, ὡς διὰ λαιμαργίαν ὁ Πλάτων εἰς τὴν Σικελίαν ἀπῆλθε πρὸς Διονύσιον τὸν τύραννον.

κη. Περὶ Ξενοκράτους ὀψοφαγίας.

Ξενοκράτης καὶ Ἀριστοτέλης μαθηταὶ τοῦ Πλάτωνος. οἵτινες καὶ διεδέξαντο αὐτοῦ τὴν διατριβήν· καὶ ὁ μὲν Ξενοκράτης ἐποίησε Στωικὴν αἵρεσιν, ὁ δὲ Ἀριστοτέλης τὴν Περιπατητικήν. λέγεται δὲ ὅτι οὕτω σώφρων ἦν ὁ Ξενοκράτης, καὶ οὕτως ὑπέταξε τὰ πάθη τῷ λόγῳ, ὅτι καὶ τρυφαῖς οὐκ ἐκινεῖτο πρὸς τὰ ἀφροδίσια. ὁ δὲ μακάριος Γρηγόριος κατηγορεῖ αὐτοῦ ὡς λαιμάργου καὶ ὀψοφάγου, καὶ μηδὲν παραιτουμένου ἐσθίειν ὡς φιλοσόφου. φιλοσοφία γάρ ἐστιν ἀρετῆς ἐγκράτεια καὶ εὐταξία βρωμάτων.

κε. Περὶ Διογένους στωμυλίας.

Διογένης κυνικὸς ἦν φιλόσοφος. κυνικὸς δὲ ἤκουσεν ἀπὸ μεταφορᾶς τῶν χερσαίων κυνῶν. ὥσπερ γὰρ οἱ κύνες οὗτοι, ἔχουσί τι καὶ φυλακτικὸν καὶ διακριτικὸν (διακρίνουσι γὰρ τοὺς οἰκείους τῶν ξένων, καὶ φυλάττουσι τοὺς οἰκείους) οὕτω καὶ οὗτος ἐμιμεῖτο τὸ διακριτικὸν καὶ φυλακτικὸν· καὶ ἐφύλαττε μὲν τὰ τῆς φιλοσοφίας δόγματα· διέκρινε δὲ τοὺς ἐπιτηδείους καὶ ἀνεπιτηδείους πρὸς φιλοσοφίαν. αὐτίκα οὖν ὁ Διογένης τοιοῦτος ὤν, ἦν εἰκότως καὶ εὐπαρρησίαστος. ἤλεγχεν οὖν καὶ δυνάστας καὶ ἐλλογίμους, καὶ πάντα αὐθαίρετον ἐδίδου διὰ τὸ καλόν.

λόν. ἐλέγχων δὲ, ἀστειότερον καὶ γελοιωδέστερον ἤλεγχε. περὶ τούτου οὖν ἀποβλέψας ὁ μακάριος Γρηγόριος λέγει, ὅτι ὁ Διογένης γελοῖος μᾶλλον ἦν καὶ ἀπατητικὸς, ἢ φιλόσοφος. στωμυλία δέ ἐστιν ἡ κατ᾽ ἀστειότητα ἀπάτη προερχομένη.

κϛ'. Περὶ τοῦ ἐνοικοῦντος τὸν πίθον.

Πολλαχῶς δύναται ἐξηγηθῆναι. καὶ αὕτη γὰρ περὶ Διογένους ἐστί. λέγεται οὖν ὅτι ἐν τῷ χειμῶνι εἰς τὸν πίθον ᾤκει, ἐν ᾧ ἑσπέρας εἰσῄει διὰ τὸ κρύος, ἡμέρας δὲ ἐξῄει διὰ τὸν ἥλιον. διὸ καί ποτε θερμαινομένου αὐτοῦ ἐν τῷ ἡλίῳ, ἐπέστη ὁ Ἀλέξανδρος ὁ Μακεδὼν, ἀποσκοτῶν αὐτῷ τοῦ μὴ θερμαίνεσθαι αὐτὸν ἐν τῷ ἡλίῳ, καὶ λέγων εἶπε, Διόγενες, τί βούλει σοι χαρίσομαι; ὁ δὲ εἶπε, τοῦτό μοι χάρισαι τὸ μικρὸν ἀποστῆναί μου ἵνα θερμανθῶ. ἡ οὖν αὕτη ἐστὶν ἡ ἱστορία, ἤ, ὡς εἰκὸς, ἡ γενομένη ἐπὶ τοῦ Πτολεμαίου· ἔστι δὲ αὕτη. Σωτάδης τις Ἀλεξανδρεὺς φιλόσοφος, ἵστατο ἐν τόπῳ τινὶ ἐν ἡλίῳ φθειριζόμενος. τοῦτον αἰσθανθεὶς ἔκ τινος ἀπόπτου θεασάμενος ὁ Πτολεμαῖος, κατῆλθεν ἵνα αὐτὸν λάβοι εἰς τὰ βασίλεια. ὁ δὲ Σωτάδης ἰδὼν αὐτὸν, εἰσῆλθεν εἰς κλάσμα πίθου χειμερίου, καὶ ἀπεκρύβη τὸν Πτολεμαῖον. ὕστερον δὲ ὡς ἀτυχῆ τινες τοῦτον διέβαλλον. ἄλλοι δὲ λέγουσιν, ὅτι αὐτὸς ὁ Πτολεμαῖος, καὶ τὸ ἰαμβεῖον τοῦτο ἀπεφθέγξατο· Θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον· αἰνιττόμενος ὅτι ὁ πίθος ἐκεῖνος μεστός ἐστι φρενῶν, διὰ τὸ Σωτάδην ἐντὸς αὐτοῦ εἶναι· καὶ ὅμως διὰ τὸ εἶναι αὐτὸν ἀτυχῆ, οὐδὲν αὐτὸν ὠφέλησεν ἡ τῶν φρενῶν πληθύς. καὶ ἡ μὲν ἱστορία αὕτη, ἡ δὲ σύνταξίς ἐστιν οὕτω, καὶ τῆς Διογένους στωμυλίας, ὑφ᾽ ἧς τοὺς ξένους ἀπεξένισεν· ἣν ἢ ὅλη ὁ Διογένης διὰ τῆς στωμυλίας ἐποίει ἀποχωρεῖν τοὺς τὴν σκιὰν αὐτῷ ποιοῦντας. τοῖς τυράννοις δὲ λέγει, ἀντὶ τοῦ, τοῖς λόγοις τοῖς τυραννικοῖς, ποιῶν ἀναχωρεῖν τοὺς ἐντυγχάνοντας· ἢ οὖν μιᾶς οὔσης τῆς κατὰ τὴν στωμυλίαν καὶ τὸν πίθον ἡ σύνταξις συνδέδεται, ἢ δύο οὐσῶν τῶν ἱστοριῶν, συντάξαι δεῖ τὴν Διογένους στωμυλίαν μετὰ τοῦ ὑφ᾽ ἧς. ὅτι δὲ τυράννους καλοῦσι τοὺς θρασεῖς λόγους, καὶ αὐτὸς ὁ θεῖος ἀνὴρ Γρηγόριος εἶπεν·

ὡς

ὡς ἐκ τῆς τραγῳδίας· μάλιστα γὰρ οἱ τραγικοὶ τῇ τοιαύτῃ κέχρηνται ἑρμηνείᾳ. τὸ δὲ, τοὺς εὐτελεῖς ἄρτους τοῖς σησαμοῦσιν, ἐστὶν αὐτοῦ παρῳδησις. ἔστι μὲν τοιοῦτόν τι παρὰ τραγικοῖς, μᾶλλον δὲ παρὰ κωμικοῖς λεγόμενον, ὅτι διὰ τῶν ἡδυτέρων ἄρτων τοὺς εὐτελεῖς ἀποφαυλίζουσιν ἄρτους· καταπαίζει οὖν ὁ θεῖος Γρηγόριος τῇ παρῳδήσει χρώμενος· ὅτι φησὶ διὰ τῆς στωμυλίας τῆς ἡδυνούσης ἐν τῷ φθέγγεσθαι, ἀπεφαύλιζε τοὺς παρατυγχάνοντας διειλέξαι αὐτοῖς. κατὰ δὲ τὴν ἐμὴν κρίσιν, μίαν ἥγημαι τὴν κατὰ τὴν στωμυλίαν καὶ τὴν πιθανιστείαν.

Ἐπίκουρος φιλόσοφος γέγονεν, ὅστις μὴ προνοεῖσθαι τὸν Θεὸν τῶν τῇδε πραγμάτων ἐδόξασεν. οὗτος δὲ καὶ τέλος παντὸς ἀγαθοῦ ἐτίθετο τὴν ἡδονήν, οὐ τὴν ἀκάθαρτον, ἀλλὰ τὴν φυσικωτάτην κατάστασιν. καὶ δὴ οἱ φιλόσοφοι ἀποσκορακίζουσιν αὐτὸν ὡς μὴ λέγοντα πρόνοιαν, καὶ ὅτι τέλος τίθεται τὴν ἡδονήν, καὶ οὐ τὸ ἀγαθὸν τὸ ὑπέρτατον καὶ μόνον. τοῦτο δέ ἐστιν ὁ Θεός. κζ. Περὶ τοῦ Ἐπικούρου.

Κράτης Θηβαῖος ἦν τῆς Βοιωτίας τὸ γένος. οὗτος φιλοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔρριψεν ἐν τῷ δήμῳ, κηρύξας οὕτω· Κράτης ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα. καὶ τὰ χωρία αὐτοῦ εἴασε γενέσθαι μηλόβοτα. μηλόβοτον δέ ἐστι χωρίον, ἐν ᾧ ἀπολύονται τὰ πρόβατα εἰς τὸ βόσκεσθαι. μῆλα γὰρ καλοῦνται τὰ πρόβατα· ἔνθεν καὶ μηλονόμοι οἱ ποιμένες, καὶ μηλωτὴ ἡ δορὰ τοῦ προβάτου λέγεται. κη. Περὶ τοῦ Κράτητος.

Κυνικός πάλιν φιλόσοφος, ἢ Ἀντισθένης, ἢ Ζήνων (διαφορεῖται γὰρ) οὗτος πλέων, καὶ χειμῶνος συμβάντος, καὶ ναυαγίου γινομένου, καὶ πάντων ἐκριπτουμένων, εὐχαρίστως φέρων τὴν ἐσομένην αὐτῷ πενίαν, πρὸς τὴν τύχην ἐφθέγξατο· εὖγε, ὦ τύχη, χάριν σοι ὁμολογῶ, ὅτι τὴν ἐμὴν οὐσίαν ἄχρι τοῦ τριβωνίου περιέστησας, δηλῶν ὅτι οὐδὲν τῆς οὐσίας αὐτοῦ, ἧς ἦν ἐμπεφορτισμένος, τῇ νηὶ κατελείφθη. κθ. Περὶ τοῦ τριβωνίου.

λ'. Περὶ τοῦ Ἀντισθένους.

Οὗτος ὁ Ἀντισθένης κυνικὸς ἦν φιλόσοφος· ὃς τυφθεὶς καὶ πληγεὶς τὸ πρόσωπον, λαβὼν χαρτίον καὶ ἐπιγράψας τὸν τύψαντα, ἐκόλλησεν εἰς τὸ ἑαυτοῦ μέτωπον, καὶ οὕτω περιῄει.

λα'. Περὶ τοῦ φιλοσόφου πανημέρου στάντος ἐν τῷ ἡλίῳ.

Πολεμουμένης τῆς Ῥώμης ὑπὸ τῶν βαρβάρων, ὁ φιλόσοφος στὰς ὅλην τὴν ἡμέραν ὑπὸ τὸν ἥλιον, προσηύξατο, καὶ ἔπεσε πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφλεξε τοὺς βαρβάρους καὶ αὐτὸν τὸν φιλόσοφον.

λβ'. Περὶ τῆς Ποτιδαίας.

Ποτίδαια πόλις ἐστὶν ἐν τῇ Θρᾴκῃ κειμένη. ἐν ταύτῃ τῇ Ποτιδαίᾳ φιλόσοφος Πολιδαμάτης ἔστη ἐν χειμερινῷ καιρῷ πανύχιος θεώμενος· καὶ τοσοῦτον μετάρσιος γέγονε τὴν ψυχήν, ὥστε μὴ αἰσθάνεσθαι τοῦ κρύους τοῦ χειμῶνος. ἔκστασιν οὖν φησὶ τὸ μετάρσιον τῆς ψυχῆς.

λγ'. Περὶ τοῦ Ἀρκαδικοῦ ζητήματος.

Ὅμηρος ὁ ποιητὴς περὶ τὴν Ἀρκαδίαν γενόμενος (χώρα δὲ αὕτη τῆς Πελοποννήσου) περιέτυχεν ἁλιεῦσι φθειριζομένοις, καὶ ἠρώτησεν αὐτοὺς οὕτως·

Ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες, ἦρ' ἔχομέν τι;

ἔστι δὲ ὁ νοῦς τῆς ἐρωτήσεως οὗτος. ὦ ἄνδρες Ἀρκάδες, ἁλιεῖς τὴν τέχνην, ἆρα ἐθηράσαμέν τι; οἱ δὲ ἁλιεῖς ἀπεκρίναντο τοῦτο τὸ ἔπος·

Οὓς ἕλομεν λιπόμεσθα, τὰ δ' οὐχ ἕλομεν φερόμεσθα.

ὁ δὲ νοῦς τούτου τοῦ ἔπους τοιοῦτος· ὅτι οὓς μὲν φθεῖρας ἐθηρασάμεθα, ἀπεκτείναμεν ἐνταῦθα· οὓς δὲ οὐκ ἰσχύσαμεν θηρεύσασθαι, φέρομεν ἐν τοῖς ἱματίοις. οὐκ ἐνόησε δὲ Ὅμηρος τοῦτο τὸ ἔπος, ὥς φασι, καὶ μικρὸν ὕστερον ἀθυμούμενος ἀπέθανεν ἀπὸ λύπης. λέγουσι δὲ εἶναι καὶ χρησμὸν δοθέντα Ὁμήρῳ, ὅτι ὅταν αὐτῷ προστεθείη ζήτημά τι, καὶ μὴ εὕρῃ, τότε ἀποθανεῖται.

λδ'. Περὶ τοῦ Ἀριστοτέλους καὶ τοῦ Εὐρίπου.

Ἀριστοτέλης ὁ φιλόσοφος μαθητὴς γέγονε Πλάτωνος· εἰ καὶ τὰ μάλιστα περὶ τὸ φυσιολογικὸν μέρος τῆς φιλοσοφίας ἐπιδοὺς ἑαυτόν, ἐσπούδασε πάντων τῶν μετὰ τὰ οὐράνια σώματα, τὰς αἰτίας εἰπεῖν καὶ τὰς φύσεις· οἷον, γῆς, θαλάττης, ἀέρος, αἰθέρος, ζώων, φυτῶν, ὑετοῦ, χιόνος, σεισμῶν, κομητῶν, πάντων ἁπλῶς. ὕστερον οὖν τὴν πάντων (ὡς ἔοικε) διερευνησάμενος φύσιν, ἐβουλήθη

καὶ

καὶ τὴν τοῦ Εὐρίπου φυσιολογῆσαι· μὴ ἰσχύσας δὲ καταλαβεῖν, ἔρριψεν ἑαυτὸν ἐν τούτῳ τῷ μέρει τῆς θαλάσσης, τοῦτο ἐπιφθεγξάμενος· ἐπειδὴ Ἀριστοτέλης οὐκ εἷλε τὸν Εὔριπον, Εὔριπος ἐχέτω τὸν Ἀριστοτέλην. καὶ τέθνηκεν οὕτως ὁ Ἀριστοτέλης. ὁ δὲ Εὔριπος τόπος ἐστὶ τῆς θαλάσσης μεταξὺ τῆς Βοιωτίας νήσου καὶ τῆς Ἀττικῆς, ὃς ἑπτάκις τρέπεται τῆς ἡμέρας. τρέπεται δὲ τὸ ὕδωρ τὸ ἐν τούτῳ τῷ μέρει ὥστε ἀποφθίνειν καὶ οἱονεὶ ἀναρροφῆσαι, καὶ πάλιν ἐξερεύγεσθαι, καὶ ἀναπληροῦσθαι πάλιν ὡς ἦν. τοῦτο δὲ (ὡς εἰπεῖν) γίνεται ἑπτάκις τῆς ἡμέρας.

λε. Περὶ τοῦ Κλεάνθους καὶ τοῦ φρέατος.

Κλεάνθης εἷς ἦν καὶ αὐτὸς τῶν κυνικῶν φιλοσόφων. οὗτος ἔν τινι φρέατι ἑαυτὸν μισθώσας, ἤρυετο ὕδωρ τοῖς παριοῦσι, καὶ διδοὺς πιεῖν, ἐλάμβανε παρ' αὐτῶν ἄρτον καὶ ἤσθιε. θαυμάζεται δὲ παρὰ τῶν φιλοσόφων ἐν τούτῳ καὶ ἐστὶν ὡς καρτερικός.

λϛ. Περὶ τοῦ Ἡρακλείτου κατηφείας.

Ἡράκλειτος καὶ Δημόκριτος, οὐκ ἐν τῷ αὐτῷ γενόμενοι χρόνῳ, φυσικοὶ δὲ ὄντες, ὁμοίως τὴν τοῦ κόσμου ἀνεπαλληλίαν διέπαιξαν, ὁ μὲν γελῶν, ὁ δὲ κλαίων. ὁ μὲν Δημόκριτος ἐγέλα συνεχῶς τὰ πράγματα, ὁ δὲ Ἡράκλειτος ἔκλαιεν. ἦν δὲ ὁ μὲν Δημόκριτος Ἀβδηρίτης, ὁ δὲ Ἡράκλειτος Ἐφέσιος.

λζ. Περὶ τῶν φαλλῶν.

Τῷ Διονύσῳ ἑορτὴν ἄγοντες οἱ Ἕλληνες, φαλλοῖς ἐτίμων αὐτόν. φαλλὸς δέ ἐστιν ἐκ δέρματος ῥουσίου σχῆμα αἰδοίου ἀνδρός. καὶ τοῦτον περιετίθεσαν ἑαυτοῖς καὶ ἐν τοῖς τραχήλοις καὶ ἐν τοῖς μέσοις μηροῖς, καὶ ἐξωρχοῦντο, τιμῶντες ἐκ τούτου τὸν Διόνυσον. τὴν δὲ τιμὴν ταύτην ἦγον τῷ Διονύσῳ διὰ τὴν τοιαύτην αἰτίαν. ἐκ Σεμέλης τῆς Κάδμου θυγατρὸς γεννᾶται ὁ Διόνυσος· αὕτη δὲ κεραυνωθεῖσα, ἐζητεῖτο ὑπὸ τοῦ Διονύσου. περιπλανωμένῳ δὲ τούτῳ καὶ ζητοῦντι, Πρόσυμνος παῖς οὕτω λεγόμενος, περιέτυχε τῷ Διονύσῳ, καὶ ὑπέσχετο δείξειν αὐτῷ τὴν μητέρα, εἰ παιδεραστήσει αὐτόν. ὁ δὲ Διόνυσος ὑπέσχετο τοῦτο· λέγει αὐτῷ ὁ Πρόσυμνος, ὅτι ἐν Λέρνῃ ἐστὶν ἡ Σεμέλη. εἶτα εἰσῆλθεν ὁ Διόνυσος ἐν τῇ θαλάττῃ, ἵνα περάσῃ ἐν τῇ Λέρνῃ. συνηκολούθησεν αὐτῷ

καὶ ὁ Πρόσυμνος, καὶ ὁ μὲν Διόνυσος, ὡς Θεός, οὐ τέθνηκεν, ὁ δὲ Πρόσυμνος τέθνηκε. λυπηθεὶς δὲ ὁ Διόνυσος ὅτι ὁ ἐραστὴς αὐτοῦ τέθνηκε, πρὸς τιμὴν αὐτοῦ καὶ μνήμην αἰδοῖον ξύλινον ἐκ συκίνου ξύλου ἐπελέκησε, μεμνημένος τῆς συντελεσθείσης αὐτοῖς αἰσχρᾶς καὶ παρανόμου ἡδονῆς· καὶ διὰ ταύτην τὴν αἰτίαν τοῖς φαλλοῖς τιμῶσι τὸν Διόνυσον. φαλλοὶ οὖν εἰσιν οὗτοι πάντες· ἰθύφαλλοι δέ, οἱ εἰς τοὺς μηροὺς μόνον ἐπ' εὐθείας ἐπιδεσμούμενοι.

λθ. Κατὰ τῶν ἀπύγων καὶ μελαμπύγων.

Ὁ Πειρίθους κατελθὼν εἰς τὸν ᾅδην διὰ τὸ ἁρπάσαι τὴν Περσεφόνην τὴν τοῦ Πλούτωνος, ἐδέθη κάτω παρὰ πέτραις τισί. κατελθὼν δὲ ὁ Ἡρακλῆς, καὶ θέλων λαβεῖν τὸν Πειρίθουν, αὐτὸν μὲν ἀνείλκυσεν· αἱ δὲ πυγαὶ αὐτοῦ προσεστεμένην τῇ πέτρᾳ. ἐκλήθη οὖν ὁ Πειρίθους ἄπυγος. πυγὸς γὰρ καλεῖται τὸ κάθισμα ἑκάστου ἀνθρώπου. ἡ δὲ κατὰ τοὺς μελαμπύγους ἐστὶν αὕτη. δύο τινὲς ἀδελφοὶ κατὰ γῆν πᾶσαν ἀδικίαν ἐνδεικνύμενοι, ἐλέγοντο Κέκροπες ἐκ τῆς τῶν ἔργων δριμύτητος τὴν ἐπωνυμίαν λαχόντες. ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάσσαλος, ὁ δὲ ἕτερος Ἀκλήμων, ὡς φησι Δῖος ὁ ὑπομνηματιστής. τούτους δὲ ἡ μήτηρ, Μήμονις τὸ ὄνομα, ἑωρακυῖα κατὰ γῆν πολλὰ δεινὰ ἐργαζομένους αὐτούς, εἶπε μὴ περιτυχεῖν μελαμπύγῳ· καί ποτε τοῦ Ἡρακλέους ὑπὸ δένδρον κοιμωμένου, καὶ τῶν αὐτοῦ ὅπλων ἀποκεκλιμένων τῷ φυτῷ, πλησιάσαντες οὗτοι τοῖς ὅπλοις, ἐπιχειρῆσαι ἐβουλήθησαν. εὐθὺς δὲ ὁ Ἡρακλῆς αἰσθόμενος, λαβὼν αὐτούς, καὶ κατακέφαλα ἐπὶ ξύλου δεσμεύσας, ἐβάστασεν ἐξόπισθεν. καὶ τότε ἐκεῖνοι τῆς ἐντολῆς τῆς ἑαυτῶν μητρὸς ἐμνήσθησαν κρεμάμενοι, τοῦ Ἡρακλέους τὴν πυγὴν μέλαιναν θεασάμενοι ἐκ τῆς τῶν τριχῶν δασύτητος· οἱ δὲ πρὸς ἀλλήλους αὐτὸ τοῦτο διαλεγόμενοι, γέλωτα πολὺν προσῆψαν τῷ Ἡρακλεῖ. καὶ εὐθὺς κατὰ τούτων τῶν δεσμῶν ἐλυτρώσατο, καὶ ἀπέλυσεν αὐτούς.

μ. Περὶ τοῦ σημείου Πανός.

Πηνελόπη γυνὴ γέγονε τοῦ Ὀδυσσέως. τούτου δὲ πλανωμένου μετὰ τὸν Τρωϊκὸν πόλεμον, πολλοί τινες ἦλθον μνηστευσόμενοι τὴν

Πηνελόπην

Πηνελόπην. ἡ δὲ ἡμέραν ἐξ ἡμέρας διεβάλλετο μηδενὶ θέλουσα γαμηθῆναι, διὰ τὸ περιμένειν αὐτὴν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. πάντες οὖν συμφρασάμενοι συγγεγόνασιν αὐτῇ· ἡ δὲ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα· διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσιν ὅτι πάνυ εὔμορφος καὶ σώφρων ἦν ἡ Πηνελόπη· καὶ διὰ τοῦτο ἐράσθη αὐτῆς ὁ Ἑρμῆς, καὶ μετεβλήθη εἰς τράγον, καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ εἰς ἔρωτα αὐτοῦ ἐκίνησε, καὶ ὠχεύθη ὑπὸ τοῦ τράγου, καὶ συνέλαβε καὶ ἔτεκε τὸν Πᾶνα. τοῦτον δὲ ἐθεοποίησαν. σχῆμα δέ ἐστιν ὁ Πὰν ὁ τραγόπους. μα.

Περὶ τοῦ Βουθοίνας.

Ὁ Ἡρακλῆς ἐστὶν ὁ καλούμενος Βουθοίνας· ἐκλήθη δὲ διὰ τοιαύτην αἰτίαν. τὴν Δρυοπίδα γῆν παρῄει ὁ Ἡρακλῆς βαστάζων καὶ τὸν υἱὸν αὐτοῦ Ὕλλον. εἶτα πεπεινακότος τοῦ Ὕλλου καὶ αἰτοῦντος τροφὴν, ἀροτριῶντά τινα Θειοδάμαντα οὕτω λεγόμενον, εὑρὼν ᾔτησεν ὁ Ἡρακλῆς ἄρτον· ὁ δὲ οὐ δέδωκεν, ἀλλὰ καὶ ὕβρισεν. ὁ δὲ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν ἔσφαξε, καὶ ἐπλήσθη καὶ αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ Ὕλλος· καὶ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην Βουθοίνας, ὅπερ ἐστὶν ὅλον ἐθοινήθη τὸν βοῦν· ἔνθεν τῷ Ἡρακλεῖ γέγονεν ὁ πρὸς τοὺς Δρύοπας πόλεμος. τοῦ γὰρ Θειοδάμαντος ἀπελθόντος εἰς τὴν πόλιν, καὶ εἰπόντος, ὡς πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν, ἐξῆλθον κατ' αὐτοῦ οἱ Δρύοπες, καὶ νενίκηκε πάντας αὐτοὺς ὁ Ἡρακλῆς, καὶ λαμβάνει αἰχμάλωτον τὸν Ὕλλον τὸν υἱὸν τοῦ Θειοδάμαντος.

μβ.

Περὶ τοῦ Τριεσπέρου.

Λέγεται ὁ Ἡρακλῆς διὰ τριῶν ἑσπερῶν συλληφθῆναι ὁμοίως καὶ τεχθῆναι· καὶ ἐν μιᾷ νυκτὶ πεντήκοντα ταῖς Θεσπίου θυγατράσι μιγῆναι, καὶ παιδοποιῆσαι ἐξ αὐτῶν πασῶν, ὥστε καὶ διὰ ταῦτα θεοποιῆσαι αὐτὸν, καὶ τοῦτο τρισκαιδέκατον αὐτοῦ ἆθλον ὀνομάσαι.

μγ.

Περὶ τοῦ Εἰδωλιανοῦ, καὶ Καυστηρίου.

Ἐπειδὴ ὁ παραβάτης τὸ τῶν χριστιανῶν κάλλιστον ὄνομα, εἰς Γαλιλαίους μεταθεῖναι ἐσπούδαζε, νῦν βούλεται ὁ θεῖος Γρηγόριος διαπαῖξαι αὐτὸν καὶ εἰπεῖν, ὅτι ἐξὸν καὶ ἡμῖν τὸν Ἰουλιανὸν

καλεῖν ἐκ τῶν περὶ αὐτὸν ὀνομάτων. φησὶν οὖν, καλέσωμεν αὐτὸν καὶ ἡμεῖς Εἰδωλιανὸν, ὡς εἰδωλολάτρην, καὶ Πισαῖον, ὡς τὸν ἐν Πίσῃ Δία τιμῶντα. Ζεὺς δὲ ἐν Πίσῃ τῇ πόλει ἐτιμᾶτο. Πίσα δὲ πόλις ἐστὶ τῆς Ἤλιδος. καὶ Ἀδωναῖον διὰ τὸν Ἄδωνιν. λέγεται δὲ σεβασθῆναι τὸν Ἄδωνιν ὁ Ἰουλιανός· οὗτος δὲ ὁ Ἄδωνις ἠράσθη ὑπὸ τῆς Ἀφροδίτης ἄνθρωπος ὢν, ἐφονεύθη δὲ ὑπὸ τοῦ Ἄρεως, διὰ τὸ ἀντερασθῆναι τὸν Ἄρεα τῆς Ἀφροδίτης. Καυσίταυρον δὲ δεῖ, φησι, καλεῖν τὸν Ἰουλιανὸν, διὰ τὸ ταύρους ὁλοκλήρους θυσιάζειν καὶ κατακαίειν τοῖς θεοῖς αὐτοῦ.

μδ. Περὶ τῆς Κερδαλῆς καὶ τοῦ Μινῶος.

Κερδὼ καλεῖται ἡ ἀλώπηξ· ἔνθεν καὶ κερδαλῆ, ἡ πονηρία καὶ ἡ κακία καὶ ἡ δολιότης. δόλιον γὰρ καὶ παγκάκιστον καὶ πονηρὸν τῶν ζώων τοῦτο ἡ ἀλώπηξ. ὁ δὲ Μίνως δίκαιος ἄνθρωπος ἐνομίζετο εἶναι, ὡς υἱὸς τοῦ Διός· ὃ οὖν λέγει ὁ θεῖος Γρηγόριος τοῦτό ἐστιν· ὅτι ὁ Ἰουλιανὸς τὴν ἑαυτοῦ παγκάκιστον πονηρίαν δι᾽ ἐπιπλάστου ἤθους ἀπέκρυπτεν ἄδικος ὢν ἐν δικαίῳ προσχήματι.

με. Περὶ τοῦ Μελάμποδος καὶ τοῦ Πρωτέως.

Ὁ Πρωτεὺς οὗτος ἐστιν ὁ τῆς Θράκης, οὗ τοὺς υἱοὺς ἀπέκτεινεν ὁ Ἡρακλῆς. οὗτος οὖν καὶ μάντις ἦν, καὶ γηόλιμος ἐνάλιος δαίμων, καὶ οἰκῶν τὴν Φάρον (διὸ καὶ Πρωτέως νῆσος ἡ Φάρος ἐκέκλητο) ἵνα μὴ οὖν αἰτῆται μαντείας καὶ προγνώσεις διὰ τοὺς πλησιάζοντας αὐτῷ, τὴν τούτων ὄχλησιν μὴ φέρων, μετεμόρφου ἑαυτὸν μαγείᾳ τινὶ, καὶ ἄγνωστον ἑαυτὸν ἐποίει τοῖς πρὸς αὐτὸν πλησιάζουσιν. ὁμοίως δὲ καὶ ὁ Μελάμπους μάντις ἦν καὶ ἱεροφάντης. οὗτος ἐξέφηνε τὰ ἐν Αἰγύπτῳ ἱερὰ τοῖς Ἕλλησιν, ἅπερ ἐμιμήσαντο οἱ Ἕλληνες. καὶ οὗτος δὲ τῶν μεταμορφουμένων ἦν, ὡς καὶ αὐτὸς ὢν μαντόμαγος. οἱ γὰρ τοιοῦτοι ἄνθρωποι εἶχον φύσει τοιαύτην δύναμιν πάρεδρον, ὥστε μεταμορφοῦσθαι εἰς ὃ ἂν θέλωσιν, ὥστε μὴ γινώσκεσθαι παρὰ τῶν πρὸς αὐτοὺς διαλεγομένων.

μς. Περὶ τοῦ Αἰτναίου πυρός.

Σικελία νῆσός ἐστι μεγίστη, παρακειμένη περὶ Ἰταλίαν. ἐν ταύτῃ ἐστὶ πόλις, Κατάνη οὕτω καλουμένη· ὑπεράνω δὲ τῆς Κατάνης ἐστὶν ὄρος, ἐξ οὗ ἀναδίδοται πῦρ πολύ τε καὶ διηνεκές. καλεῖται δὲ τὸ

ὄρος

ὄρος Αἴτνη· καλεῖται δὲ καὶ τὸ τοῦ Ἡφαίστου κρατῆρες. τούτου δὲ τὸ πῦρ ἐστὶν ὅτε τοσοῦτον ἀναβλύζει, ὥστε καὶ ποταμηδὸν φέρεσθαι, καὶ ῥεῖν ὡς ὕδωρ μετὰ τῆς ἀναδιδομένης παρ' αὐτοῦ ὕλης. ἔστι δὲ καὶ θεῖόν τι τὸ πῦρ τοῦτο. λέγεται δὲ ὅτι πατήρ τις μετὰ υἱοῦ εὑρέθη ἐν τῷ ὄρει τούτῳ, καὶ ἄφνω ἐρρύη ποταμηδὸν τὸ πῦρ, καὶ ἄπορον αὐτοῖς γέγονε τὸ περιελθεῖν. ὁ δὲ παῖς ἔλαβε τὸν ἑαυτοῦ πατέρα καὶ ἐβάστασε· καὶ ἐρυθριάσαν τὸ πῦρ τὴν πρᾶξιν τοῦ υἱοῦ, ἀνέκοψε τῆς ἐπιρροῆς. καὶ περιῆλθεν ὁ παῖς καὶ ὁ πατὴρ ἀβλαβεῖς.

μζ. Περὶ τῆς ἐν τῷ Μίθρᾳ κολάσεως.

Τὸν Μίθραν νομίζουσι Πέρσαι τὸν ἥλιον εἶναι· καὶ τούτῳ θύουσι πολλὰς θυσίας, καὶ τελοῦσί τινας εἰς αὐτὸν τελετάς. οὐδεὶς δὲ δύναται τελεσθῆναι τὰς τοῦ Μίθρου τελετάς, εἰ μὴ διὰ πασῶν τῶν κολάσεων παρέλθῃ, καὶ δείξει ἑαυτὸν ἀπαθῆ τινα καὶ ὅσιον. λέγονται δὲ ὀγδοήκοντα εἶναι κολάσεις, ἃς κατὰ βαθμὸν δεῖ τὸν τελεσθησόμενον παρελθεῖν· οἷον, πρῶτον διανήξασθαι ἐπὶ πολλὰς ἡμέρας ὕδωρ πολύ· εἶτα εἰς πῦρ ἐμβάλλειν ἑαυτόν· εἶτα ἐν ἐρήμῳ διαιτηθῆναι καὶ ἀσιτῆσαι, καὶ ἄλλα τινὰ ἄχρις οὗ (ὡς εἴπομεν) τὰς ὀγδοήκοντα κολάσεις παρέλθῃ· καὶ τότε λοιπὸν ἐμύουν αὐτὸν τὰ τελεώτερα, ἐὰν ζήσῃ.

μη. Περὶ τοῦ Ἐχέτου καὶ Φαλάριδος.

Ἔχετος τῆς Ἠπείρου ὑπῆρχε τύραννος. οὗτος ὠμότατος ὤν, ἐπενόει παντοίας τιμωρίας καὶ κολαστήρια. πρὸς τοῦτον τοὺς θέλοντας ἀφειδῶς κολάσαι διέπεμπον· ὡς καὶ ὁ ποιητὴς λέγει περὶ αὐτοῦ·

Εἰς Ἔχετον βασιλῆα βροτῶν δηλήμονα πάντων.

ὁ δὲ Φάλαρις οὗτος καινοτέρων κολαστηρίων γέγονεν εὑρετής. ἦν δὲ τὸ γένος Σικελιώτης. οὗτος ἐριζόμενος Διονυσίῳ τῷ τυράννῳ, ὅτι ὠμοτάτῳ καὶ τυραννικῷ καὶ τιμωρητικῷ, ἐπενόησε βοῦν χάλκεον, ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους, καὶ πῦρ ἀνακαίεσθαι· ἵνα ἔνδον ὄντες καὶ καιόμενοι καὶ βοῶντες, διατρεχούσης τῆς φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου, δόξῃ ὁ ταῦρος καιόμενος μυκηθμὸν ἀποτελεῖν. τούτου δὲ τοῦ Φαλάριδος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος, αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν, καὶ καύσας ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ

μηχανήμασι.

μηχανήμασιν· ὡς δὲ αὐτὸς ὁ Φάλαρις ἐν ἐπιστολῇ φησι Περίλλαόν τινα τὴν τέχνην βάναυσον τοῦ τοιούτου χαλκοῦ ταῦρον αὐτουργεῖν, οἰόμενον αὐτῷ χαρίζεσθαι τῇ καινότητι τῆς τιμωρίας, ἐμβαλὼν εἰς τὸ τοιοῦτο χαλκοῦν κολαστήριον, καὶ ὑφάψας πυρὰν, ἀνεῖλε πρῶτον καὶ μόνον τῆς καινῆς τιμωρίας τὸν δημιουργόν· τὸν δὲ βοῦν ἐν Δελφοῖς ἀποπέμψας ἀνάθημα τῷ Πυθίῳ καθιέρωσε.

μθ. Περὶ τῆς ὕδρας. Θηρίον μυθεύεται ἡ ὕδρα γενέσθαι ἐν τῇ Λέρνῃ πεντηκοντακέφαλον, οἱ δὲ ἐννεακέφαλον, τὰς δὲ κεφαλὰς εἶναι ὄφεων. ὅπερ ἐλθὼν ὁ Ἡρακλῆς μετὰ Ὕλα τοῦ θεράποντος αὐτοῦ ἀπέκτεινε. μυθεύεται δὲ καὶ τοῦτο, ὅτι, τεμνομένης μιᾶς κεφαλῆς αὐτῆς, δύο ἀντ' αὐτῆς παρεφύοντο, ὥστε γενέσθαι ἐπὶ τὸ διπλάσιον ἑκάστην κεφαλάς. ὁ δὲ Ὕλας μαθὼν τοῦτο, ἐμηχανήσατο, καὶ πῦρ ἔφερε καὶ τὴν τεμνομένην κεφαλὴν ἐνεπίμπρα· καὶ οὕτως ἴσχυσαν τὰς πάσας ἀποκτεῖναι.

ν. Περὶ τῆς Παταρικῆς χιμαίρας. Πάταρα πόλις ἐστὶ τῆς Λυκίας. λέγεται δὲ ὅτι ἐν ταύτῃ ἐστὶν ὄρος, ἐν ᾧ ὄρει ἦν θηρίον, ὃ ἔμπροσθεν μὲν ἦν θηρίον, ὄπισθεν δὲ δράκων, μέση δὲ ἦν χίμαιρα· ἐξ ἧς χιμαίρας πῦρ ἐκ τοῦ στόματος ἀνεδίδοτο, καὶ ἐλυμαίνετο τὴν χώραν, καὶ πάντας τοὺς περιόντας. ὕστερον δὲ ἐλθὼν ὁ Βελλεροφόντης, ἔχων τὸν Πήγασον ἵππον, ἐτεχνάσατο καὶ τῷ δόρατι αὐτοῦ προστεθῆναι σφαῖραν μολίβδου, καὶ ἐμβαλεῖν εἰς τὸ στόμα τῆς χιμαίρας. ἐλύθη δὲ ἀπὸ τοῦ πυρὸς ὁ μόλιβδος, καὶ ἐχώνευσε τὰ σπλάγχνα αὐτῆς· καὶ οὕτως ἀπέκτεινε τὴν χίμαιραν.

να. Περὶ τοῦ Κερβέρου. Μυθεύεται ὅτι ἐστί τις κύων, ἔχων τρεῖς κεφαλάς, ὃς καλεῖται Κέρβερος· καὶ οὗτος φυλάττει τὰς πύλας τοῦ ᾅδου· καὶ τοὺς μὲν καταβαίνοντας εἰς τὸν ᾅδην σαίνει καὶ κολακεύει, τοὺς δὲ ἀνιόντας δάκνει καὶ οὐκ ἐᾷ ἀνελθεῖν. φασὶν οὖν ὅτι ὁ Ἡρακλῆς ὅτε κατῆλθε συναρπάσαι τῷ Πειρίθῳ τὴν Περσεφόνην, ἀνελὼν ἀπέκτεινε τὸν Κέρβερον.

νβ. Περὶ τῆς Σκύλλης. Μυθεύεται ὅτι ἐν τῷ Τυρρηνικῷ πελάγει θηρίον ἦν, ὃ ἦν γυνὴ μὲν περικαλλὴς μέχρι τοῦ ὀμφαλοῦ, ἔνθεν δὲ καὶ ἔνθεν, κυ-

νῶν

ναι κεφαλαὶ περιαπεφύκασιν αὐτῇ ἕξ· τὸ δὲ ἄλλο αὐτῆς σῶμα ὀφιῶδες. ὅ, φησι, θηρίον τοὺς περιπλέοντας τὰ πελάγη ταῦτα κατήσθιεν ἀφειδῶς καὶ θηριωδῶς.

Κατὰ τὸ Σικελικὸν καὶ Τυῤῥηνικὸν πέλαγος ἐστί τις τόπος, ἐν ᾧ ἡ θάλασσα γίνεται ἄμπωτις καὶ ῥαχία· καὶ διΐσταται τὸ ὕδωρ, ὥστε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος, εἴγε δυνατὸν, ὁρᾶσθαι. ἄμπωτις δέ ἐστιν, οἷον ἀνάπωσίς τις καὶ ἀναῤῥόφησις· τὸ δὲ ὕδωρ ὑπονοστεῖ ἔν τισι κοιλώμασι τῶν πετρῶν, καὶ πάλιν ἐκρήγνυται, ὃ καὶ καλεῖται ῥαχία. οὗτος δὲ ἐστὶν ὁ τόπος τοῖς πλέουσιν ἐπικίνδυνος καὶ θανάτου μεστός. ὀλεθρίως γὰρ τὸ πλοῖον ἐγίνετο ἐν τούτῳ τῷ τόπῳ, εἰ συνέβη, πλέοντος τοῦ πλοίου, γενέσθαι ἀμπώτιδα καὶ ῥαχίαν. περὶ τούτων Ὅμηρος ἔφη·

Ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις.

ἀντίτελον δὲ ἐκάλεσε τὴν Χάρυβδιν, πρὸς τὴν Σκύλλαν παραβαλών. 15. Περὶ Χαρύβδεως.

Ὅμηρος ὁ ποιητὴς εἰσφέρει τὸν διὰ ἀορατίαν τινὰ καὶ ἀφάνειαν ἐμποιήσαντα περὶ τοὺς Ἕλληνας, ὥστε μὴ ὁρᾶσθαι. λέγει οὖν μυθικώτερον, ὅτι τὴν κυνέαν τοῦ ᾅδου ἤτοι τοῦ Πλούτωνος περιέβαλεν αὐτοῖς ὥστε μὴ ὁρᾶσθαι. ἡ δὲ κυνέα περικεφαλαία ἐστὶ τοῦ Ἄδου ἤτοι τοῦ Πλούτωνος. 17. Περὶ τῆς Ἄδου κυνέης.

Πλάτων ὁ φιλόσοφος ἐν πολιτείαις· ἔστι δὲ οὕτως αὐτοῦ λεγομένη πραγματεία· εἰσφέρει τὸν μῦθον τοῦτον οὕτω λέγων· ὅτι Γύγης οὗτός τις ποιμὴν περὶ τὴν Λυδίαν ὢν ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα, περιέτυχε σπηλαίῳ τινὶ καὶ εἰσελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χάλκεον, καὶ ἔνδον τοῦ χαλκοῦ ἵππου ἄνθρωπον νεκρὸν, καὶ δακτύλιον· τοῦ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἔστρεφετο· τὴν γὰρ κεφαλὴν καλεῖ σφενδόνην σαφῶς ὁ θεῖος Γρηγόριος. ἔλαβεν οὖν ὁ Γύγης, φησὶ, τὸν δακτύλιον, καὶ ἐξῆλθε· καὶ ἡνίκα μὲν ἦν ἐν τῇ τάξει ὁ δακτύλιος ἑωρᾶτο ὑπὸ πάντων· ἡνίκα δὲ τὴν σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφανὴς ἐγίνετο πᾶσιν. ὁ οὖν Πλάτων εἰσφέρει τὸν μῦθον τοῦτον· ὅτι φησὶν ὁ δίκαιος ἀνὴρ, κἂν τοῦ Γύγου 18. Περὶ δακτυλίου τοῦ Γύγου.

 λάβῃ

λάβῃ δακτύλιον ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδ' οὕτως ὤφειλεν ἀδικεῖν. δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύειν, καὶ μὴ δι' ἄλλους τινάς.

νϛ'. Περὶ τῶν Λινδίων.

Λίνδος πόλις παλαιὰ τῆς Ῥόδου· ἐν ταύτῃ τὸ ἱερὸν τῷ θύοντι καὶ θοινωμένῳ τῶν βοῶν, οἱ θύοντες κατηρῶντο, καὶ διελοιδοροῦντο, καὶ ὕβριζον ὕβρεις οὐχ ὁσίας.

νζ. Περὶ τῆς ἐν Ταύροις ξενοκτονίας.

Ἤδη εἴπομεν ὅτι ἔθνος ἐστὶν ἡ Σκυθία, καὶ τὰ ὄρη αὐτῆς καλοῦνται Ταῦροι, ἔστι πόλις λεγομένη Ταῦροι. ἐν ταύτῃ τιμᾶται ἡ Ἄρτεμις. τῆς οὖν Ἰφιγενείας θυγατρὸς τοῦ Ἀγαμέμνονος ἐνταῦθα ὑπὸ τῆς Ἀρτέμιδος ἐνεχθείσης, τοὺς ἀφικομένους ξένους ἔθυον, πρὸς τὸ μὴ κατάδηλον γενέσθαι τὴν Ἰφιγένειαν μετὰ τὴν ἐπίοδον τῶν ξένων.

νη. Περὶ Λακώνων ξαινομένων πρὸ αἵματι.

Ῥηθεῖσα μὲν καὶ ἤδη πρότερον, καὶ ἤδη λελέξεται. οἱ Λακεδαιμόνιοι καρτερικοὺς τοὺς ἑαυτῶν παῖδας εἶναι ἐκδιδάσκοντες, μαστιγώσεσιν ἐχρῶντο, ἐκδιδάσκοντες αὐτοὺς ὑπομονητικῶς ἔχειν ταῖς μάστιξι· καὶ τούτους ἔξαινον ταῖς πληγαῖς παρὰ τοὺς βωμούς· καὶ τῷ μὴ ὀλιγωρήσαντι, ἀλλὰ γενναίως ἐνεγκόντι ἆθλον ἐδίδοσαν.

νθ. Περὶ τοῦ κατατέμνεσθαι τοὺς Φρύγας.

Παρὰ τοῖς Φρυξὶν ἐτιμᾶτο ἡ Ῥέα ἡ μήτηρ τῶν θεῶν. ταύτῃ πανηγυρίζοντες καθότι ἀπετμήθη αὐτὴ παρὰ τῶν Κορυβάντων τὴν κύστιν διὰ τὰς πολλὰς αὐτῆς πορνείας, θεραπεύοντες δῆθεν τὴν ἑαυτῶν θεὸν, κατέτεμνον ἑαυτῶν τοὺς μηροὺς καὶ τοὺς ὤμους. ἄλλοι δὲ ηὔλουν, τὸν ἐραστὴν αὐτῆς τιμῶντες Ἄττιν· ἅμα δὲ ἵνα ὑποκλέπτηται διὰ τῆς τῶν αὐλῶν ἡδονῆς ἡ τῆς κατατομῆς ὀδύνη.

ξ. Περὶ τοῦ Κυνοσάργους.

Κυνόσαργες τόπος ἐστὶν ἐν Ἀθήναις, ἐν ᾧ οἱ νόθοι ἐκρίνοντο, εἰ τοῦδε ὄντως γέγονεν υἱός. ἐκάλουν δὲ παρὰ Ἀθηναίοις καὶ τοὺς ἀπελευθέρους νόθους. νόθοι γὰρ καὶ οὗτοι πρὸς τοὺς ἐκ γενετῆς ἐλευθέρους. καὶ οὗτοι δὲ ἐκρίνοντο, καὶ ἐδοκιμάζοντο, εἰ ὅλως ἐλευθερώθησαν. Κυνόσαργες δὲ ἤκουσεν ὁ τόπος ἀπὸ τούτου· θυσίας πλησίον ἐν ἱερῷ γενομένης, εἰσελθὼν κύων ἥρπασε κρέα τοῦ θύματος, καὶ ἤγαγεν ἐν τούτῳ τῷ τόπῳ· καὶ ἐκεῖ ἐκτίθη τις

νεὼς, καὶ ἐκλήθη Κυνόσαργες, οἷον Κυνόσαρκες, ἀπὸ τῶν σαρκῶν καὶ τοῦ κυνός. ὕστερον δὲ τοῦ κ ἐξελθόντος, εἰσῆλθε τὸ γ, διὸ καὶ Κυνόσαργες καλεῖται.

Ξάνθος ποταμὸς τῆς Τροίας, ὃς καὶ ἐπιμέμφεται Ἀχιλλεῖ κτείνοντι τοὺς Τρῶας. ἡ δὲ Χαλκὶς, ὥς φασι, κόρη τις γέγονε, νέου δέ τινος ἐρῶσα, καὶ μὴ τυχοῦσα, ἑαυτὴν ἀπεξήγαγε σὺν ὀδυρμῷ τοῦ βίου· ἣν ἐλεήσαντες οἱ Θεοὶ εἰς ὄρνιν μετέβαλον. Ὅμηρος· ξα. Περὶ τοῦ Ξάνθου καὶ τῆς Χαλκίδος.

Ὃν Ξάνθον καλέουσι Θεοὶ, ἄνδρες δὲ Σκάμανδρον. Καὶ πάλιν,

Χαλκίδα κικλήσκουσι Θεοὶ, ἄνδρες δὲ Κύμινδα.

Διαπαίζει οὖν αὐτοὺς θεῖος διδάσκαλος.

ξβ. Περὶ τοῦ Παλαμήδου.

Παλαμήδης Εὐβοεὺς ὢν τὸ γένος (Εὔβοια δὲ νῆσος ἀπομικρὸν τῆς Ἀττικῆς) οὗτος εὗρε τὸ ἀριθμεῖν καὶ τὸ ταβλίζειν, καὶ κεχρῆσθαι καὶ ἄλλαις πολλαῖς μεθόδοις. οὗτος δὲ ὁ Παλαμήδης εἷς ἐστὶ τῶν συστρατευσαμένων ἐπὶ τὸ Ἴλιον. ἀπέθανε δὲ ἐν τῇ Τροίᾳ κατὰ ἐπιβουλὴν τοῦ Ὀδυσσέως. Ὀδυσσέα γὰρ εἶχεν ἐχθρὸν διὰ τοιαύτην αἰτίαν. τοῦ Ἀγαμέμνονος προτρεπομένου τὸν Ὀδυσσέα ἐπὶ τὴν περὶ Τροίαν ἔξοδον, μὴ θέλων ὁ Ὀδυσσεὺς ἐξελθεῖν μανίαν προσεποιήσατο, καὶ βαλὼν ὄνον καὶ βοῦν, ἐδόκει ἀροτριᾶν ἐν μανίας προσποιήσει· ὁ δὲ Παλαμήδης ἤλεγξεν, ὅτι δὴ οὐ μαίνεται. ἤλεγξε δὲ αὐτὸν, Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προθεὶς πρὸ τοῦ ἀρότρου. εἶτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ πεδίον καὶ παρελθὼν ἐν μέρει, ἐπῆρε τὸ ἄροτρον, ἵνα μὴ πλήξῃ τὸ παιδίον· καὶ ἐγνώσθη ὅτι προσεποιεῖτο τὴν μανίαν. ταύτην οὖν τὴν μῆνιν μηνιῶν ὁ Ὀδυσσεὺς ἐν τῇ Τροίᾳ, ποιεῖ πλαστὴν ἐπιστολὴν, ὡς ἀπὸ Πριάμου πρὸς τὸν Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων· καὶ ἀποτίθησιν ἐν τῇ τοῦ Παλαμήδου σκηνῇ. ὕστερον δὲ κατηγορείας ὑπ' αὐτοῦ γενομένης κατὰ Παλαμήδου ὡς προδότου, εὑρέθη ἐπιστολὴ κατακρίνουσα αὐτόν. καὶ τέθνηκεν ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων.

ξγ. Περὶ τῶν κολοιῶν.

Μῦθός τις ἐστὶ τοιόσδε. κρίσις ἦν, φησὶ, περὶ κάλλους ὀρνέων· καὶ ὁ

 Ζεὺς

Ζεὺς διαιτητὴς ὑπῆρχε τῆς κρίσεως. ἦν δὲ ὁρισθεῖσα ἡμέρα ἐν ᾗ ἔδει συναυλισθῆναι τὰ ὄρνεα παρὰ τὸν Δία. τῇ προτεραίᾳ δὲ τῆς ὁρισθείσης ἡμέρας, παρὰ τοῖς ποταμοῖς φοιτήσαντα τὰ ὄρνεα, τοῖς νάμασιν ἀπενίπτοντο τὰ πτερά, ἵνα τὸ φυσικὸν ἑκάστῳ διαλάμψῃ κάλλος· ὁ δὲ κολοιός (ἔστι δὲ τοῦτο τὸ ὄρνεον οὐ μάλα μικρὸν μὲν τὸ σῶμα, ἀκαλλὲς δὲ τὸ εἶδος) τῶν ἐκπεσόντων παρὰ τοῖς ὕδασι πτερῶν περιθεὶς ἑαυτῷ, ἧκε καὶ αὐτὸς παρὰ τὸν Δία, ὡς ληψόμενος τοῦ κάλλους τὸ νικητήριον. ἀνέμου δὲ ὧδε πνεύσαντος καὶ ἀποσκεδάσαντος τὰ ἀλλόφυλα τῶν πτερῶν, γυμνὸς ηὑρέθη τοῦ κάλλους, ἔχων δὲ μόνην τὴν ἐκ φύσεως αὐτῷ περικειμένην ἀμορφίαν, οὕτω τῆς αἰσχύνης ἀπήλαυσε.

ξδ'. Περὶ γραὸς διαπειληθείσης τῷ ὤμῳ.

Γυνή τις καλουμένη, ὡς μέν τινες λέγουσι, Σίβυλλα, ὡς δὲ ἄλλοι, Φιμόνη, ὡς δὲ ἕτεροι, Φίλυρα, ἐσπείσθη παρά τινος νεανίσκου. ἡ δὲ γυνὴ ὑβριστικώτερον διενεχθεῖσα πρὸς τὸν νεανίσκον, ὕβρισεν αὐτόν. ἦν δὲ ἡ ὕβρις ἡ λεχθεῖσα ἔμμετρος στίχος καὶ τῆς ἁρμονίας τοῦ λόγου τῆς γραὸς ἀρεσάσης τοῖς παρισταμένοις, τὸ μέτρον τοῦ στίχου ἔλαβον· καὶ οὕτως ἐπεγνώσθη τὰ περὶ τοὺς στίχους.

ξε'. Περὶ Κυκλώπων.

Ἐν τῇ Σικελίᾳ τῇ νήσῳ περὶ τὰ ὀρεινὰ αὐτῆς λέγονται γενέσθαι οἱ Κύκλωπες, ποιμενικὸν μὲν βίον ἐπιτηδεύοντες, ζῶντες δὲ βιαιότερον. λέγονται δὲ οὗτοι ἀνθρωποφάγοι εἶναι, καὶ κατεδηδοκέναι τινὰς τοῦ Ὀδυσσέως ἑταίρους. τρεῖς δὲ αὐτῶν λέγονται οἱ ἐξοχώτατοι, Βρόντης, Στερόπης, Ἄργης. λέγονται δὲ οὗτοι αὐτοὶ καὶ ἐξοχώτατοι χαλκεῖς τὴν τέχνην· οἵτινες διὰ τῆς οἰκείας τέχνης, τὴν βροντὴν καὶ τὴν ἀστραπὴν τῷ Διὶ κατασκευάσαι. Κύκλωπες δὲ ἐλέγοντο, ὡς μὲν Ἡσίοδος, ὅτι ἕνα εἶχον κυκλοτερῆ ὀφθαλμὸν ἐν τῇ ὄψει· ὡς δὲ Παλαίφατος, ὅτι κυκλοτερῆ τινα νῆσον ᾤκουν.

ξς'. Περὶ ἀλουργίδος.

Ἐν Τύρῳ παρὰ τὸν αἰγιαλὸν κύων ποιμενικὴ πορευομένη, εὑροῦσα κογχύλιον ἔφαγεν. εἶτα τὸ αἷμα τοῦ κογχυλίου ἔβαψε τῆς κυνὸς τὸ στόμα· εἶτα ὁ ποιμὴν νομίζων πεπλῆχθαι τὴν κύνα, λαβὼν ἔριον ἀπέμασσε τὸ αἷμα τοῦ στόματος τῆς κυνός. καὶ εὕρηται μὲν ἡ κύων ἔχουσα μηδὲν φαῦλον, τὸ δὲ ἔριον τὴν τῆς πορφύ-

ρας ἀναδεδεγμένον βαφήν. εἶτα ἐγνωκὼς ὁ ποιμὴν ὅτι τὸ κογχύλιον τοιαύτην ἔχει φύσιν βαπτικήν, ἐδημοσίευσεν αὐτὸ τοῖς Τυρ. καὶ οὕτω συνέλεξαν ἐκ τῆς θαλάσσης τὰ κογχύλια, καὶ κατεσκεύασαν τὴν πορφύραν, ἐκ δὲ ταύτης τὰς ἁλουργίδας.

ξζ. Περὶ τῆς γεωργίας, καὶ ναυπηγίας.

Καθὼς μυθεύεται· ἡ Δημήτηρ εἶχε θυγατέρα τὴν Περσεφόνην. ταύτην ἥρπασεν ὁ Πλούτων. περιιοῦσα γὰρ ἡ Δημήτηρ καὶ ζητοῦσα τὴν θυγατέρα Περσεφόνην, ἦλθεν εἰς τὴν Ἀττικήν, καὶ καταλύει παρὰ Τριπτολέμῳ τινὶ ἐν κώμῃ Ἐλευσίνῃ οὕτω καλουμένῃ. μανθάνει οὖν αὕτη παρὰ Τριπτολέμου, ὅτι ὁ Πλούτων ἥρπασε τὴν Περσεφόνην· καὶ ὑπὲρ ταύτης τῆς εὐεργεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα, λέγω δὴ σῖτον καὶ κριθήν, ἐντειλαμένη μὴ φθονῆσαι, ἀλλὰ περιελθεῖν καὶ σκορπίσαι τὰ σπέρματα πᾶσιν ἀνθρώποις· ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τοὺς ἡμέρους καρπούς. πάλαι γὰρ οἱ ἄγροικοι ἤσθιον τὰς βαλάνους ἐκ τῶν φηγῶν, ἔνθεν ἀπὸ τῆς φηγοῦ τὸ φαγεῖν εἴρηται. λέγεται δὲ ὅτι ὁ Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, συμπαραλαβὼν καὶ τὸν Κελεόν, οὕτως ἐπλανᾶτο φιλοτιμούμενος τὰ σπέρματα. λέγει δὲ ὁ θεῖος Γρηγόριος ὅτι καὶ ἡ ναυπηγία παρὰ Ἀθηναίοις εὕρηται. οἶμαι δὲ αὐτὸν λέγειν περὶ τῆς ναυμαχικῆς τέχνης· θαυμαστοὶ καὶ ἄκροι Ἀθηναῖοι· ναῦν γὰρ λέγονται οἱ πρῶτοι Φοίνικες ναυπηγῆσαι· τριήρη δὲ ἡ Σεμίραμις.

ξη. Περὶ τοῦ Κελεοῦ καὶ Ἰκαρίου.

Περὶ μὲν τοῦ Κελεοῦ εἴπομεν ἐν τῇ πρὸ ταύτης ἱστορίᾳ, ὅτι μετὰ τοῦ Τριπτολέμου ἐπλανᾶτο διδοὺς τὰ σπέρματα. περὶ δὲ τοῦ Ἰκαρίου ἐστὶν αὕτη. λέγεται ὅτι ὁ οἶνος παρὰ τοῦ Διονύσου εὑρέθη. διὸ καὶ ἔφορον τῆς ἀμπέλου λέγουσιν εἶναι τὸν Διόνυσον. ἱστορεῖται οὖν ὁ Διόνυσος ἐλθὼν ἐν Ἀθήναις, Ἰκαρίῳ τινὶ περιτυχών, δέδωκεν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι, ὁ δὲ καὶ ἐφύτευσε καὶ ἐγεώργησεν οἶνον, καὶ ἔπιε, καὶ δέδωκε καὶ ποιμέσι πιεῖν. οἱ δὲ ποιμένες μεθυσθέντες διὰ τὸ ἐκ τοῦ παραδόξου πρῶτον πιεῖν, νομίσαντες φαρμακευθῆναι παρὰ τοῦ Ἰκαρίου, ἀποκτείνουσιν αὐτόν· ἡ δὲ

Ἠριγόνη ἡ τούτου θυγάτηρ, διὰ τὸν κύνα τοῦ Ἰκαρίου γνοῦσα ὅτι ἀπέθανεν, ἐποτνιᾶτο καὶ ἤσχαλλε, καὶ, καθὼς μυθεύουσιν οἱ πλανώμενοι Ἕλληνες, ταύτην ἐλεήσαντες οἱ Θεοὶ διὰ τὸ πάθος, μετέθηκαν εἰς τὸν οὐρανόν· καὶ νῦν ἐστιν ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη. τὸ δὲ λέγειν, μυστήριον ὑμῖν αἰσχρὸν ταῦτα ἐποίησε, οὐ περὶ τοῦ Ἰκαρίου λέγει, ἀλλὰ περὶ τῆς κατὰ τὴν Δημήτραν μυθολογίας. λέγεται δὲ αὕτη, οὐ μόνον δεδωκέναι αὐτοῖς τὰ σπέρματα, ἀλλὰ καὶ θεσμούς τινα μυστηρίων διδάσκειν, ἅτινα τελοῦσιν οἱ Ἕλληνες. ὡς γὰρ παρὰ τοῖς θεοδιδάκτοις Χριστιανοῖς ἐστι τὸ ἅγιον φώτισμα, οὕτω καὶ παρ᾽ ἐκείνοις ἡ τοιάδε. ἡ δὲ τοιαύτη τῶν Ἑλλήνων ἑορτὴ, λέγεται Δημήτρεια.

ξθ. Περὶ τοῦ θρησκεύειν καὶ μυεῖσθαι.

Λέγεται ὅτι ὁ Ὀρφεὺς Θρᾷξ ὢν τὸ γένος, καὶ θεολογήσας τὰ Ἑλλήνων μυστήρια, ἐδίδαξε πῶς δεῖ τιμᾶν Θεούς. τοῦτο οὖν τὸ τιμᾶν Θεοὺς ἐκάλεσαν θρησκεύειν, ὡς Θρακίας οὔσης τῆς εὑρέσεως. ἄλλοι δὲ ἐτυμολόγησαν, ὅτι τὸ θρησκεύειν παρῆκται ἀπὸ τοῦ οἱονεὶ θεοδερκεύειν, τουτέστι Θεὸν ὁρᾶν. τὸ δὲ μυεῖσθαι εἴρηται, ἢ παρὰ τὸ μυστήρια καὶ ἀπόρρητα τελεῖσθαι, ἢ διὰ τὸ μύειν τὰς αἰσθήσεις καὶ ἐπέκεινα γινομένους πάσης σωματικῆς φαντασίας, οὕτως εἰσδέχεσθαι τὰς θείας ἐλλάμψεις.

ο. Περὶ τοῦ θύειν καὶ ἀστρονομεῖν.

Λέγεται δὲ ὅτι τὸ θύειν Θεοῖς Χαλδαῖοι ἐξεῦρον, εἶτα οἱ Κύπριοι. διαφορεῖται γὰρ ἡ ἱστορία. Χαλδαῖοι δὲ ἔθνος Περσικόν. τὴν δὲ ἀστρονομίαν λέγονται πρῶτοι εὑρηκέναι Βαβυλώνιοι διὰ Ζοροάστρου. δεύτεροι δὲ διεδέξαντο Αἰγύπτιοι. τὴν δὲ γεωμετρίαν εὗρον Αἰγύπτιοι διὰ τὸ τὸν Νεῖλον τὴν αὐτῶν καταρδόντα χώραν, συγχέειν τὰ τῆς δεσποτείας ἑκάστου γνωρίσματα· διαιροῦντες οὖν πολλάκις τὴν γῆν, καὶ ποικίλοις σχηματισμοῖς χρώμενοι, ἀρχηγοὶ τῆς ἐπιστήμης γεγόνασι. τὴν δὲ μαγείαν, φασὶν, εὗρον Μῆδοι, εἶτα Πέρσαι. διαφέρει δὲ μαγεία γοητείας, καὶ γοητεία φαρμακείας τούτοις· ὅτι ἡ μὲν μαγεία, ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν, πρὸς ἀγαθοῦ τινος σύστασιν. ὥσπερ τὰ τοῦ Ἀπολλωνίου Τυανέως τελέσματα δι᾽ ἀγαθὸν γεγόνασι. γοητεία δέ ἐστιν ἐπί-

κλησις

κλῆσις δαιμόνων κακοποιῶν, περὶ τοὺς τάφους εἰλευμένων, ἐπὶ κακοῦ τινος σύστασιν. γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου, ἢ πρὸς φίλτρον δοίη, ἢ καὶ ἄλλως πως προσαχθῇ τινι διὰ στόματος.

οα. Περὶ τῆς ὀνειρομαντείας.

Τελμισσὸς πόλις ἐστὶ Παμφυλίας. αὕτη δὲ παλαιοτάτη πόλις. ἦν δὲ καὶ ἐπὶ τῶν χρόνων τοῦ Κροίσου. οὗτοι λέγονται πρῶτοι τοὺς ὀνείρους εὑρεῖν, καὶ διακρίνειν τὰ τέρατα. ἔλεγον γάρ, εἰ γένοιτό τι παράδοξον, ὅτι τόδε σημαίνει, καὶ πάντως ὡς ἂν εἶπον συνέβαινεν ἐξέρχεσθαι.

οβ. Περὶ τῆς οἰωνιστικῆς.

Τῆς δὲ οἰωνιστικῆς, ὃ μέν ἐστιν ὀρνεοσκοπητικόν, τὸ δὲ οἰκοσκοπητικόν, ὃ δὲ ἐνόδιον, τὸ δὲ χειροσκοπητικόν, τὸ δὲ παλμαστικόν. ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν πετομένου τοῦδε ἢ τοῦδε ὄρνιθος, ἢ ἔμπροσθεν ἢ ὀπίσω, ἢ δεξιὰ ἢ ἀριστερά, εἴπωμεν, ὅτι τόδε σημαίνει. λέγεται δὲ ἐξευρηκέναι πρῶτος Τηλέγειος. οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσηται καὶ εἴπῃ, ὅτι τόδε σημαίνει. ἐπειδὴ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ ὄφις, ἢ μῦς, ἢ ἐκενώθη ἔλαιον, ἢ μέλι, ἢ οἶνος, ἢ ὕδωρ, ἢ τέφρα, ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει. ταῦτα δὲ συνεγράψατο Ξενοκράτης. ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσηται τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα· ὅταν ὅτι ἐάν σοι ὑπαντήσῃ τις τόδε βαστάζων, τόδε σοι συμβήσεται· ἐὰν ὁ δεῖνα, τόδε· ὅπερ συνεγράψατο Πόλλης. χειροσκοπητικὸν δέ ἐστιν, ὅταν διὰ ἐκτάσεως τῶν χειρῶν καὶ διὰ τῶν ῥυτίδων εἴπωμεν, ὅτι τόδε ἢ τόδε αὐτὸν μένει· ἢ ὅτι γαμεῖ ἢ παιδοποιεῖ, ἢ τι τοιοῦτον· ὅπερ συνεγράψατο Ελενος. παλμαστικὸν δέ ἐστι, ὃ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον, ἐπάλθη ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει· ἢ ὁ ὦμος, ἢ ὁ μηρός, τόδε. ὃ συνεγράψατο Ποσειδώνιος καὶ ἄλλοι πολλοί.

ογ. Περὶ τῶν Σκυθικῶν δούλων.

Τῶν νομάδων Σκυθῶν μέρος τι ἐξῆλθεν ἐκ τῆς Σκυθίας πλανώμενον ἐπὶ λῃστείᾳ. εἴασαν δὲ οὗτοι οἰκέτας, ὥστε μετὰ τῶν

γυναικῶν

γυναικῶν τυρεύειν τὸ γάλα. τοὺς δὲ οἰκέτας αὐτῶν ἐξετύφλουν οἱ Σκύθαι ζηλοτυποῦντες καὶ οὕτω παρεῖχον αὐτοῖς τυρεύειν τὸ γάλα. χρόνου δὲ γενομένου, καὶ τῶν Σκυθῶν τῶν ἐξελθόντων μὴ ὑποστρεφόντων, αἱ γυναῖκες φοιτῶσι πρὸς τοὺς δούλους τοὺς ἐκτυφλωθέντας καὶ συγγίνονται αὐτοῖς, καὶ συλλαμβάνουσι, καὶ γεννῶσι· καὶ γίνονται παῖδες ἀντὶ τῶν ἐξελθόντων Σκυθῶν. ἦσαν δὲ δοῦλοι οἱ τεχθέντες κατὰ τὸ σπέρμα. οἱ οὖν πάλαι ἐξελθόντες Σκύθαι ὑποστρέψαντες, εὗρον τούτους τοὺς γεννηθέντας ἐκ τῶν δούλων ἡβήσαντας, καὶ ἐναντιουμένους αὐτοῖς. καὶ γενομένου πολέμου μεταξὺ τῶν δουλοσπόρων καὶ τῶν ἐπανελθόντων Σκυθῶν, ἡττῶνται πολλάκις οἱ ἐπανελθόντες. τούτοις οὖν ἡττηθεῖσιν, εἷς συνεβούλευσέ τις μὴ ὅπλοις αὐτοὺς πολεμῆσαι, ἀλλὰ διὰ μαστίγων. τὸ γὰρ δι' ὅπλων, φησί, πολεμῆσαί τινας, ὡς ἀπὸ ἴσων πρὸς ἴσους ἐστὶν ὁ πόλεμος· τὸ δὲ ἀπὸ μαστίγων αὐτοῖς ἐπελθεῖν, ὡς ἀπὸ δεσποτῶν εἰς δούλους ἐστίν. οἱ οὖν δουλόσποροι, θεασάμενοι τοὺς Σκύθας μετὰ τῶν μαστίγων, ὑπέκυψαν ὡς οἰκείοις δεσπόταις· καὶ οὕτω κατελύθη ὁ πόλεμος.

οδʹ. Περὶ Θετταλικοῦ ἵππου.

Πᾶσα πόλις, ἢ χώρα ἔχει τι ἐξαίρετον ἰδίωμα· οἷον, ἡ Θετταλῶν χώρα ἔσχε τοὺς ἵππους· ἡ Ἀθηναίων, τὰ μέταλλα τοῦ ἀργύρου· ἡ Ἰνδία, τὴν χρυσῖτιδα ψάμμον· ὁμοίως καὶ ἡ Λακεδαιμονίων κύνας θηρευτικὰς (ἔνθεν καὶ οἱ Λακωνικοὶ κύνες) καὶ γυναῖκας ἀνδρείας καὶ ἀπτοήτους. ἔσχε δὲ καὶ ἡ Σικελία πηγὴν ὕδατος Ἀρέθουσαν οὕτω καλουμένην· ἧς ἐρασθῆναι τὸν Ἀλφειὸν ποταμὸν μυθεύουσι· τὸ δὲ ὕδωρ τῆς Ἀρεθούσης, ἀκραιφνές τε καὶ καθαρὸν καὶ γλυκύ. λέγει οὖν ὁ θεῖος Γρηγόριος, ὅτι ὥσπερ ἔνιαι χῶραι καὶ πόλεις ἔσχον τι κατεξαίρετον ἰδίωμα, οὕτω τὸ δόγμα τῶν χριστιανῶν πάντα ταῦτα, ὀρφανοτροφεῖα, ξενῶνας, νοσοκομεῖα, πτωχοτροφεῖα, καὶ πάντα τὰ τοιαῦτα ἀγαθά.

οεʹ. Περὶ τῆς τοῦ Πλάτωνος πολιτείας.

Πλάτων ὁ φιλόσοφος συγγράψας σύνταγμα, ὃ πολιτείαν ἐπέγραψεν. ἐν τούτῳ τῷ συντάγματι λέγει, ὁποίαν δεῖ γενέσθαι

νέσθαι

νέσθαι πόλιν, καὶ ἐκ ποίων ἀνδρῶν συγκειμένην, καὶ ποίοις ἔθεσι καὶ νόμοις πολιτευομένην. αὕτη δὲ αὐτὴ ἡ πόλις, λόγῳ μόνῳ συνέστη· ἔργῳ δὲ, οὔτε συνέστη, οὔτε ἐπολιτεύσατο. ἐν ἐκείνῳ οὖν τῷ συντάγματι τοῦτο τὸ ῥησίδιον· ὅτι ὑποκείσθωσαν ἡμῖν οἱ πολῖται τάδε φθεγγόμενοι, ἵν' ἴδωμεν αὐτὴν κινουμένην τὴν ἐπίτοιαν.

οϛ'. Περὶ τῆς τοῦ Ἡσιόδου Θεογονίας.

Ἡσίοδος εἷς ἐστὶ τῶν ποιητῶν· οὗ φέρονται τρία ποιήματα· ἡ καλουμένη Θεογονία, τὰ καλούμενα ἔργα καὶ ἡμέραι, καὶ ἡ καλουμένη ἀσπίς. ἐν τῇ οὖν καλουμένῃ θεογονίᾳ ὁ Ἡσίοδος ἄρχεται καταριθμεῖσθαι τὰς γενέσεις τῶν Θεῶν, ὅτι ἐκ τοῦ χάους καὶ ἐκ τοῦ αἰθέρος ἐγεννήθη ὁ δεῖνα· ἐκ δὲ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ Κρόνος· ἐκ δὲ τοῦ Κρόνου, ὁ Ζεὺς, ὁ Ποσειδῶν, ὁ Πλούτων. εἶτα καταφέρει ἑτέρων γενεῶν καὶ Θεῶν καινοτέρων ὀνόματα· καὶ ὅτι οἱ δὲ οἱ Θεοὶ, μετὰ τῶνδε ἐπολέμησαν· καὶ οἱ δὲ ἐνίκησαν, οἱ δὲ ἡττήθησαν, καὶ οἵδε διεσπάραξαν τόνδε ἢ τόνδε. οἱ γὰρ Τιτᾶνες λέγονται διασπαράξαι τὸν Διόνυσον. τὰ μὲν ὀνόματα ταῦτα· ἃ λέγει ἐνταῦθα ὁ Γρηγόριος, ἐστὶ Κόττον καὶ Βριαρέα· ὁ Ἡσίοδος λέγει γενέσθαι τινὰς ἀνθρώπους ἀπὸ ἑκατὸν χειρῶν ἔχοντας, οἵτινες μετὰ τῶν Θεῶν ἐπολέμησαν σὺν Τιτᾶσι. οἱ γὰρ Τιτᾶνες μυθεύονται κατὰ τῶν Θεῶν ἐπαναστῆναι, ἕως οὗ ἐκεραύνωσεν αὐτοὺς ὁ Ζεύς. ὁμοίως δὲ καὶ περὶ τῶν δρακοντοπόδων Ἡσίοδος λέγει, ὅτι ἐγεννήθησαν ἄνθρωποι δρακοντόποδες. κεραυνοφόρους δὲ λέγει νῦν θεοὺς, ἢ αὐτὸν τὸν Δία, ὡς κεραυνὸν ἐπαφέντα τοῖς Γίγασιν, ἢ Στερόπην ἢ Βρόντην σὺν χαλκεύσαντας τῷ Διῒ βροντὴν καὶ τὴν ἀστραπὴν, καὶ τοὺς κεραυνούς· νήσους δὲ καὶ βέλη καὶ τάφους λέγει ἐπαφεῖσθαι τοῖς Γίγασι παρὰ τῶν Θεῶν. ταῦτα οὖν μυθολογεῖ. τὰ δὲ πικρὰ τούτων γεννήματα λέγει, ὅτι ἐκ τοῦ αἵματος τῶν Γιγάντων ταῦτα τὰ θανατηφόρα ζῶα γεγόνασιν, ἃ αὐτὸς καταριθμεῖται, ἐστὶ τὴν Χίμαιραν, τὸν Κέρβερον, περὶ ὧν φθάσαντες εἴπομεν. τὸ δὲ περὶ τὰς Γοργόνας, τοιοῦτόν τι ἐστίν· ὅτι τρεῖς ἦσαν γυναῖκες φο-

βερὰ τοσοῦτον ἔχουσαι τὰ πρόσωπα, ὥστε τοὺς θεωμένους αὐτὰς παραυτίκα ἀποθνήσκειν. λέγεται δὲ ὅτι ὁ Περσεὺς τὴν μίαν τούτων ἀνεῖλε τῷ λογχοδρεπάνῳ.

οζ. Περὶ Ὀρφέως καὶ Κιθάρας.

Ὀρφεὺς γέγονε μουσικὸς, Θρᾷξ τὸ γένος· ὃς λέγεται οὕτω προσηνῶς καὶ ἐμμελῶς ᾆσαι ὡς ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ, μᾶλλον δὲ τῇ μαγείᾳ, τὰς δρῦς, καὶ τῶν ζώων τὰ ἄλογα, καὶ τοὺς λίθους, καὶ τοὺς ποταμούς. τούτου δὲ φέρονται ποιήματα, ἅπερ ὡς θεολογίας ἔχουσιν Ἕλληνες. ἐν δὲ τούτοις τοῖς ποιήμασι, διὰ μυθικῶν συμβόλων λέγει τὰς τῶν θεῶν τάξεις καὶ σειράς, καὶ τίνων τίνα ἔργα, καὶ ποῖα τίνων τελέσματα, καὶ τίνες τίνων δημιουργοί. τούτου τοίνυν τοῦ Ὀρφέως, ἔνια ἔπη παρατίθησιν ὁ θεῖος Γρηγόριος, ἃ εἰσὶ περὶ τοῦ Διὸς εἰρημένα, καὶ τῆς Δήμητρος. τὰ μὲν γὰρ πρῶτα περὶ τοῦ Διὸς λέγει, τὰ δὲ ὕστερα περὶ τῆς Δήμητρος. καὶ ὁ νοῦς μὲν τῶν περὶ τοῦ Διὸς ἐπῶν, οὗτός ἐστιν· ὅτι, ὦ Ζεῦ ἔνδοξε καὶ μέγιστε τῶν πάντων θεῶν, περιεχόμενε τῇ κόπρῳ πάσῃ, ὅση τε προβάτων, ὅση τε ἵππων καὶ ἡμιόνων. μηλείη δὲ κόπρος ἐστὶν ἡ τῶν προβάτων· μῆλα γὰρ τὰ πρόβατα. διὰ τούτου δὲ τοῦ ἔπους δῆθεν ὁ Ὀρφεὺς ἐσήμαινεν, ὅτι ὁ Ζεὺς ἄγει καὶ τῆς κτηνώδους ὕλης ἐκπέμπει τὰς ἑαυτοῦ ζωογόνους δυνάμεις. τοῦ δὲ περὶ τῆς Δήμητρος ἔπους ὁ νοῦς ἐστιν οὗτος· ὅτι ἐπαιρεσθύη ἡ θεὰ, τοὺς ἑαυτῆς μηροὺς ἀνεσύρατο· λέγει δὲ περὶ τῶν ἱματίων· ἵνα, φησί, τοὺς ἐρῶντας αὐτῆς ἀξιώσῃ τῆς συνουσίας. διὰ δὲ τούτων ὁ Ὀρφεὺς αἰνίττεται, ὅτι ἡ θεία δύναμις τοῖς ἐπιθυμοῦσιν αὐτῆς, ἕτοιμός ἐστι τοῦ ἐπιδοῦναι ἑαυτὴν καὶ μυῆσαι αὐτούς. ὁ οὖν θεῖος Γρηγόριος, ὡς καὶ τούτου ὄντος αἰσχροῦ, καὶ τοῦ περὶ τὸν Δία ἀκαθάρτου, διασύρει καὶ διαγελᾷ αὐτοὺς ἀξίως.

οη. Περὶ Φάνητος καὶ Ἠρικαπαίου.

Ἐν τοῖς Ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα ὀνόματα μετὰ καὶ ἄλλων πολλῶν· ὧν, τὸν Φάνητα εἰσφέρει αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. λέγουσι δὲ αὐτὸν ἔφορον εἶναι τῆς ζωογόνου δυνάμεως· ὁμοίως δὲ καὶ τὸν Ἠρικαπαῖον λέγουσιν ἐτέ-

ρας

ρας ἔφορον εἶναι δυνάμεως· περὶ δὲ τοῦ, ὁ πάντας καταπίνων θε-
ούς, οὐ λέγει περὶ τοῦ Ἠρικαπαίου, ἀλλὰ περὶ τοῦ Κρόνου. λέγεται
γὰρ οὗτος, οὓς ἔτικτεν υἱούς, πάλιν καταπιεῖν, καὶ ἐμέσαι οὓς ἤδη κα-
τέπιε. λέγεται λίθον καταπιεῖν ἀντὶ τοῦ Διός, καὶ τοῦ λίθου κατελ-
θόντος ἐμέσαι πάντας.

οθ. Περὶ Ὁμήρου.

Καὶ ἡ περὶ τοῦτον πολυθρύλλητος ἱστορία. ἐν γὰρ τοῖς ποιή-
μασιν αὐτοῦ ἄνω τε καὶ κάτω, Κρόνον τε καὶ Δία μυθολογεῖ, καὶ Ἥραν
καὶ Ἀφροδίτην, Ἀθηνᾶν τε ἐπὶ πᾶσι τούτοις· καὶ ἁπλῶς οὓς ἐκ
τῆς ποιήσεως ἴσμεν. κωμῳδοποιὸν δὲ τὸν Ὅμηρον ἐκάλεσεν, ὡς ἔνια
ἀποσκώμματα εἰς θεοὺς εἰρηκότα· τραγῳδοποιὸν δὲ, ὅτι ἔνια πένθιμα
περὶ τῶν θεῶν μυθολογεῖ· οἷον, ὅτι τὸν Ἥφαιστον κατεκρήμνισεν ἐν Λήμ-
νῳ ὁ Ζεύς· καὶ ὅτι ἐτρώθη ἡ Ἀφροδίτη ὑπὸ τοῦ Διομήδους. ταῦτα
δὲ δῆθεν δακρύων ἄξια. τῇ μὲν γὰρ τραγῳδίᾳ ἕπεται τὰ δάκρυα·
τῇ δὲ κωμῳδίᾳ ὁ γέλως.

π. Περὶ Ὠκεανοῦ, καὶ Τηθύος.

Καὶ τοῦτον δὲ τὸν μῦθον εἰσφέρουσιν οἱ ποιηταί, ὅτι ὁ Ὠκε-
ανὸς πατήρ ἐστι πάντων τῶν θεῶν, ἡ δὲ Τηθὺς μήτηρ. ἀνδρόγυνοι
δὲ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς· καὶ ὅτι πάλαι διέστησαν ἀπ' ἀλλή-
λων· διὰ δὲ δυσωπήσεως τῆς Ἥρας γέγονε πάλιν συνάφεια αὐ-
τῶν καὶ φιλία. ὁ δὲ μῦθος αἰνίττεται, ὅτι ὁ Ὠκεανὸς μέν ἐστιν ἡ ὑγρὰ
φύσις· ἡ δὲ Τηθὺς ἡ ξηρά, τουτέστιν, ἡ γῆ· καὶ ὅτι πάλαι τῆς ὑγρᾶς
φύσεως μὴ συγγινομένης τῇ γῇ, οὐδὲν ἐζωογονεῖτο, καὶ ἀπώλλυντο
πάντα. εἶτα ἡ Ἥρα, ὡς ἔφορος οὖσα τῆς συζεύξεως, καταλλάτ-
τει τὰ δύο στοιχεῖα εἰς συνάφειαν, καὶ γέγονε λοιπὸν ζωογόνος.

πα. Περὶ Διὸς καὶ Ἥρας.

Ὁ Ζεὺς ἐχαρίζετο μᾶλλον τοῖς Τρωσί, καὶ ἐποίει ἡττᾶσθαι
τοὺς Ἕλληνας διὰ τὴν ἱκεσίαν τῆς Θέτιδος, ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα
ζητήσωσιν αὐτὸν οἱ Ἕλληνες ἡττώμενοι. ἡ Ἥρα ἐφρόντιζε τῶν Ἑλλήνων·
φροντίζουσα δὲ, βουλεύεται ἀπατῆσαι τὸν Δία, πρὸς μῖξιν αὐτὸν καὶ ὕ-
πνον ἐκβακχεύσασα, ἵνα, καθεύδοντος τοῦ Διός, ἀβοήθητοι οἱ Τρῶες
γενόμενοι ἡττηθῶσιν ὑπὸ τῶν Ἑλλήνων. ταῦτα οὖν βουλευσαμένη,
λαμβάνει τὰ πορνικὰ καλλωπίσματα πάντα ἐκ τοῦ κεστοῦ τῆς Ἀ-

φροδίτης. ὁ δὲ κεστὸς μυθεύεται καὶ ποικίλον τι εἶναι, ἐν ᾧ πάντα τὰ πρὸς κάλλος καὶ εὐμορφίαν καὶ χάριτας καὶ λαμπρότητα προσώπου ἐναπόκειται. εἶτα κοσμησαμένη ἄνεισι παρὰ τὸν Δία, καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου πρὸς ἡδονὴν καὶ λαγνείαν· ἐκ γῆς δὲ περιέβαλλεν ἑαυτῇ καὶ τῆς τῶν μύρων εὐωδίας. καὶ γὰρ ἡ γῆ, φησὶν, ἐβλάστησε βοτάνας, οἷον λωτὸν, κρόκον, καὶ ὑάκινθον, ῥόδα, καὶ τὰ λοιπὰ ἀρώματα ἔργα μυρεψῶν, καὶ μόσχον.

πβ. Περὶ τῆς Ἥρας ζηλοτυπίας..

Ἡ Ἥρα πολλάκις ἐζηλοτύπει τὸν Ἡρακλέα. ἐν τῷ γοῦν ἀποστρέφειν αὐτὸν ἐκ τῆς Τροίας, ὅτε μετὰ τοῦ Τελαμῶνος αὐτὴν ἐπόρθησε, διετάραξε τὴν θάλασσαν, καὶ τοὺς ἀνέμους διήγειρε καὶ ἐχείμαζε τὸ σκάφος τῇ βίᾳ καὶ τῷ κλύδωνι τοῦ Ἡρακλέως. τὸν δὲ ὕπνον μαγγανείᾳ τινὶ χρησαμένη προσελθεῖν ἐποίησε τῷ Διῒ, καὶ ἐφύπνωσεν αὐτὸν ἵνα μὴ ἐγρηγορὼς βοηθήσῃ τῷ Ἡρακλεῖ χειμαζομένῳ. μαθὼν δὲ μετὰ τὸν ὕπνον ὁ Ζεὺς τὸ κατασκεύασμα τῆς Ἥρας, τιμωρεῖται αὐτὴν οὕτω· δύο ἄκμονας δήσας αὐτῇ περὶ τοὺς πόδας, περὶ δὲ τὰς χεῖρας πέδας ἀδιαλύτους, ἐκρέμασεν αὐτὴν ἀπὸ τοῦ οὐρανοῦ τιμωρῶν αὐτήν.

πγ. Περὶ φόβου τῶν θεῶν.

Παρ' Ὁμήρῳ εἰς τὴν υ ῥαψῳδίαν, τοῦ Ἀχιλλέως κατὰ κράτος ἀριστεύοντος, φόβος ἔλαβε τὸν Δία, μήπως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τὸ Ἴλιον. τοῦτο δὲ φοβούμενος, ἐπέτρεπε τοῖς θεοῖς τὸν βουλόμενον ὡς βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι. ἵνα οἱ μὲν τοῖς Τρωσὶν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι· τούτων οὖν ἐπιτραπέντων, ὁ μὲν Ζεὺς κατὰ τὸν μῦθον ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ· ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν ὁ δὲ Ἅδης, σεισθέντων τῆς τε θαλάσσης καὶ τοῦ οὐρανοῦ, ἐφοβήθη μήπως σεισθείσης τῆς γῆς ἀναῤῥήξις γένηται τῶν καταχθονίων, καὶ δημοσιευθῇ τὰ κατ' αὐτόν. ἔστι δὲ τὰ ἔπη ταῦτα· Δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθε γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων.

πδ. Περὶ συννεύσεως τῶν ὀφρύων.

Ὅμηρος εἰσφέρει τὸν Δία μετὰ τὴν τῆς Θέτιδος ἱκεσίαν τὴν περὶ τοῦ Ἀχιλλέως, ἀποκρινόμενον, κεκινηκότα μὲν τὰς ὀφρύας ἐν

τῇ

τῇ ὑποσχέσει, σείσαντα δὲ τὰς τρίχας ἐπὶ τῇ κατανεύσει τῆς κεφαλῆς, καὶ συγκινήσαντα, φησι, τὸν ὅλον οὐρανὸν ἐπὶ τῇ τῶν τριχῶν κινήσει. ἀμβροσίας δὲ τὰς τρίχας εἶπεν, ὅτι, ἃς οὐδεὶς βροτῶν δύναται ἔχειν.

Λέγει ὁ ποιητὴς, ὅτι ἐτρώθη ὑπὸ τοῦ Διομήδους ταῦτα λέγει ἐν τῇ ῥαψῳδίᾳ ε. ἐδέθη δὲ παρὰ τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου. οὗτοι δὲ ἦσαν υἱοὶ μὲν Ἀλωέως καὶ τύραννοι τὴν φύσιν· ἐγένοντο δὲ περὶ Θετταλίαν. οὗτοι ἐμελέτησαν ἀνταρσίαν κατὰ τῶν Θεῶν. ὁ οὖν Ἄρης πρῶτος ἐπῆλθε κατ' αὐτῶν. εἶτα ἡττηθεὶς ἐδέθη ἐν χαλκῷ κεράμῳ. χαλκοῦς δὲ κέραμος, ἡ πόλις ἐστὶν οὕτω καλουμένη, ἢ εἶδός τι δεσμοῦ δυσχερὲς καὶ δυσλύτου. λέγονται δὲ οἱ περὶ Ὦτον καὶ Ἐφιάλτην ἐνναέτεις ὄντες, εἶναι ἐννεόργυιοι κατὰ τὸ μῆκος, κατὰ δὲ τὸ πλάτος, ἐννεαπήχεις. πε. Περὶ τοῦ Ἄρεως πεπεδημένου.

Ἀφροδίτη γυνὴ ἦν τοῦ Ἡφαίστου τοῦ χαλκέως. ταύτης ἠράσθη ὁ Ἄρης καὶ ἐμοίχευσεν αὐτήν. ὁ οὖν Ἥφαιστος μαθὼν τοῦτο, τῇ τέχνῃ αὐτοῦ ἐτεχνάσατο τὰς πάγας, καὶ τίθησι τῷ Ἄρει ἐργαζομένῳ ἐπὶ τῇ μοιχείᾳ τῆς Ἀφροδίτης. καὶ ἐμπίπτει εἰς τὰς πάγας καὶ κατέχεται ὁ Ἄρης, καὶ φωρᾶται μοιχεύων τὴν Ἀφροδίτην. καὶ οὐκ ἔλυσεν αὐτοὺς ὁ Ἥφαιστος, ἀλλ' εἴασεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως οὗ ἐκάλεσε τοὺς Θεοὺς καὶ ἐδημοσίευσεν αὐτούς. καὶ τότε οἱ Θεοὶ εἰδότες ὅπως θριαμβευόμενοι, ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅ τε μοιχὸς καὶ ἡ μοιχαλὶς, πολὺν ἐπ' αὐτοὺς κατέχεον γέλωτα· καὶ τότε λύεται ὁ Ἄρης, ὅτε μικρά τινα λύτρα δίδωσι τῷ Ἡφαίστῳ. Ἀμφιγύην δὲ τὸν Ἥφαιστον ἐκάλεσεν, ὡς χωλόν. πϛ. Περὶ τοῦ ἔρωτος τῆς Ἀφροδίτης.

Ἀθηνᾶ μὲν καὶ Ἥρα φροντίζουσαι τῶν Ἑλλήνων, ἐπολέμουν πρὸς Ἀφροδίτην καὶ Ἄρεα φροντίζοντας τῶν Τρώων. εἴποις δ' πολέμους, καὶ τοὺς ἀπὸ τῶν Γιγάντων πρὸς τοὺς δῆθεν Θεοὺς, καὶ τοὺς ἀπὸ τῶν Τιτάνων πρὸς τὸν Διόνυσον. πζ. Περὶ τῶν πολέμων.

Κατὰ τὸν μῦθον ὁ Οὐρανός, φησι, γέγονε Κρόνου πατήρ· ὁ Κρόνος οὖν πη. Περὶ Κρόνου, καὶ τοῦ Οὐρανοῦ.

μὴ βουλόμενος γενέσθαι αὐτῷ ἕτερον παῖδα, λαβὼν δρέπανον ἐκτέμνει τὰ αἰδοῖα τοῦ πατρός, καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλασσαν· καὶ ἀφροῦ γενομένου ἐγεννήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ὡς ἐκ τοῦ ἀφροῦ.

λθ. Περὶ τῆς τοῦ Διὸς πρὸς τὸν Κρόνον ἐπαναστάσεως.

Ὁ Ζεὺς μαθὼν ὅτι τεκνοφάγος ἐστὶν ὁ Κρόνος, ὁ πατὴρ αὐτοῦ, ἐπεμηνίσατο αὐτῷ, καὶ ἐκβάλλει αὐτὸν τῆς βασιλείας, καὶ καταταρταροῖ αὐτὸν μετὰ τῶν Τιτάνων. κατὰ μίμησιν δὲ εἶπε τοῦ πατρὸς ὅτι καὶ ὁ Κρόνος ἐπανέστη τῷ Οὐρανῷ, καὶ ἐξέτεμεν αὐτοῦ τὰ αἰδοῖα καὶ ἔλαβε τὴν βασιλείαν. γλυκὺν δὲ λίθον καὶ τὸν αὐτὸν πικρὸν τυραννοκτόνον τὸν Δία καλεῖ. λίθον μὲν, ὅτι, ὡς εἶπον, ἡ Ῥέα λίθον δέδωκε τῷ Κρόνῳ καταπιεῖν ἀντὶ τοῦ Διός. τυραννοκτόνον δὲ καλεῖ, ἢ ὅτι ἐπανέστη τῷ Κρόνῳ ὁ Ζεὺς, ἢ ὅτι ὁ τούτου λίθος ἐποίησεν αὐτὸν ἐμέσαι καὶ οὓς πρότερον κατέπιε.

μ. Περὶ τοῦ Κερδῴου.

Κερδῷον Θεὸν καλοῦσιν οἱ Ἕλληνες, τὸν Ἑρμῆν ὡς κέρδους περιποιητικόν. διὸ καὶ Ἀριστοφάνης ὁ κωμικὸς ἐν τῷ δράματι τῷ Πλούτῳ, ἀπορῶν τίνα δεῖ καλέσαι τὸν Ἑρμῆν, φησίν· ἐμπολαῖον αὐτὸν ἱδρυσώμεθα, τουτέστι, κέρδους ἔφορον.

μα. Περὶ Διὸς πάντα γινομένου.

Ὁ Ζεὺς γενόμενος ἀετὸς διά μαγγανείας τινὸς, ἥρπασε τὸν Γανυμήδην, ἐρασθεὶς αὐτοῦ περὶ παιδεραστίαν. Φρὺξ δὲ ὁ Γανυμήδης. ὁ δὲ μῦθος ἔχει, ὅτι ἥρπαξεν ὁ Ζεὺς τὸν Γανυμήδην, ἵνα ποιήσῃ αὐτὸν οἰνοχόον, ὅτε μὲν ἀριστοποιεῖ τοῖς Θεοῖς· ποτὲ δὲ ὁ Ζεὺς γοητείᾳ τινὶ γέγονε χρυσὸς, καὶ Δανάῃ συνεγίνετο. πάλιν ταῦρος, καὶ τὴν Εὐρώπην ἥρπασε. κύκνος δὲ γενόμενος, Λήδῃ ἐπόρνευσε. πάλιν ταῦρος γενόμενος, τὴν Πασιφάην ἐπόρνευσε. Σάτυρος δὲ γενόμενος καὶ τἄλλα μυρία κακὰ πράξας διὰ φιληδονίαν καὶ λαγνείαν.

μβ. Περὶ τοῦ Λοξίου.

Ὁ Ἀπόλλων μαντευόμενος, οὐ σαφῶς, οὐδὲ διαρρήδην τοὺς χρησμοὺς τοῖς χρησμῳδουμένοις ἔλεγεν, ἀλλ᾽ ἀσαφῶς καὶ λοξῶς· διὸ ἤκουσε Λοξίας, ὡς τἀναντία τῶν ἐκβησομένων χρησμῳδῶν. καὶ ἐκ τούτου ἠπατῶντο πολλοί· μάλιστα δὲ πάντων ὁ Κροῖσος ὁ Λυδός. ὧν

γὰρ

γὰρ αὐτῷ ὁ δελφικὸς χρησμὸς ἐστί. Κροῖσος Ἅλυν διαβάς, μεγάλην ἀρχὴν καταλύσει. οὐκ ἦν δὲ σαφὲς ποίαν ἀρχὴν καταλύσει· νομίσας δὲ ὁ Κροῖσος ὅτι τὴν τῶν ἐναντίων ἀρχὴν λέγει, ἐπέρασε τὸν Ἅλυν ποταμόν, καὶ τὴν οἰκείαν ἀρχὴν κατέλυσε.

Χωλεύοντα Θεὸν λέγει τὸν Ἥφαιστον. χωλὸς γὰρ ἐστὶ τῶν ποδῶν αὖθις. ὃν ὁρῶντες ὑπηρετοῦντα καὶ χωλεύοντα, ἐγέλων οἱ Θεοί. καὶ ὅτε τοῖς πάγαις τὸν Ἄρεα ὁ Ἥφαιστος διὰ τὴν μοιχείαν συνέδησεν, ἐκάλεσε τοὺς Θεούς, καὶ πολὺν γέλωτα κατ' αὐτοῦ κατέχεον. 47. Περὶ γέλωτος ἀμετρίας.

Ὁ Ζεὺς ἀπῆλθεν ἐν τῇ Αἰθιοπίᾳ ἐπὶ ἄριστον. ἐπειδὴ οἱ Αἰθίοπες ἀριστοποιήσαντες, ἐκάλεσαν αὐτόν τε καὶ τοὺς ἄλλους Θεοὺς σὺν αὐτῷ. τὸ δὲ ἄριστον τὸ Αἰθιοπικὸν καὶ ἡ δίαιτα αὕτη, θυσία ἦν γινομένη τῷ Διΐ· τὰ δὲ ἔπη εἰσὶ ταῦτα· 48. Περὶ τοῦ ἐπὶ δαῖτα τρέχειν τὸν Δία.

Ζεὺς γὰρ ἐπ' Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας,
Χθιζὸς ἔβη μετὰ δαῖτα, Θεοὶ δ' ἅμα πάντες ἕποντο.

ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ ΩΝ ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεολόγος ἐν τῷ κατὰ Ἰουλιανοῦ στηλιτευτικῷ δευτέρῳ.

Ἀριάδνη θυγάτηρ ὑπῆρχε Μίνωος τοῦ Κρητῶν βασιλέως. α. Περὶ τοῦ Ἀριάδνης στεφάνου.
αὕτη ἠράσθη Θησέως τοῦ Ἀθηναίων βασιλέως, ἐλθόντος ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου. ἐκ τοῦ δὲ Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος, καὶ ἀνήγαγεν ἐν τῇ Νάξῳ, καὶ συνεμίγη αὐτῇ καὶ πρὸς τιμὴν αὐτῆς, στέφανον ἐν τῷ οὐρανῷ δι' ἀστέρων ὑπεζωγράφησεν. ἡ δὲ τοῦ πλοκάμου τῆς Βερενίκης ἐστὶν αὕτη. Βερενίκη γυνή τις ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου. τοῦ δὲ ἀνδρὸς αὐτῆς τοῦ Πτολεμαίου ὄντος ἐν πολέμοις, ηὔξατο, ὅτι εἰ ὑποστρέψει ἄτρωτος, τὸν πλόκαμον τὸν ἑαυτῆς ἀπόκαρμα ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ. καὶ ἀνέθηκεν ἡ Βερενίκη τὸν πλόκαμον

μον ἀποκείρασα τῶν ἑαυτῆς, ὑποστρέψαντος τοῦ Πτολεμαίου· Κόνων δέ τις ὢν ἀστρονόμος ἐπὶ τῶν αὐτῆς χρόνων, ὁ πρὸς κολακείαν αὐτῆς φησιν, ὅτι οἱ θεοὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἀνέθηκαν. καὶ νῦν ἐστί τις βοτρυοειδὴς θέσις ἀστέρων ἐν τῷ οὐρανῷ, ὃ καλοῦσι πλόκαμον Βερονίκης. ἡ δὲ περὶ τοῦ κύκνου ἐστὶν αὕτη. ὁ Ζεὺς ἐρασθεὶς, ὡς μὲν τινες λέγουσι τῆς Νεμέσεως, ὡς δὲ ἕτεροι, τῆς Λήδας, καὶ βουλόμενος συγγενέσθαι αὐτῇ, καὶ μὴ ὁρασθῆναι ὑπὸ τῆς Ἥρας, ἐξωμοιώθη κύκνῳ, καὶ συνεγένετο τῇ ἐρωμένῃ. νῦν οὖν τοῦτο ὁ κύκνος κατεστηρίχθη ἐν τῷ οὐρανῷ καὶ ἔστι, φησὶν, ὑποζωγραφηθεὶς τὸ ἄστρον ὁ κύκνος. ἡ δὲ περὶ τοῦ ταύρου ἐστὶν αὕτη. ταῦρός τις ὑπὸ τοῦ Ποσειδῶνος ἀνεδόθη περὶ τὴν Ἑλλάδα· οὗτος ἐλυμαίνετο τὴν χώραν καὶ ἐσίνετο πολλά· ἐπὶ τοῦτον ἦλθεν ὁ Θησεὺς, καὶ ἀνεῖλεν αὐτόν. καὶ βουλόμενοι οἱ θεοὶ μέγα τὸ ἔργον τοῦ Θησέως δεῖξαι, καὶ θεραπεῦσαι τὸν Ποσειδῶνα, κατεστήριξαν τὸν ταῦρον ἐν τῷ οὐρανῷ. καὶ νῦν ἐστι διὰ ἀστέρων ὑποζωγραφηθεὶς ὁ ταῦρος ἐν τῷ οὐρανῷ. ἡ δὲ περὶ τοῦ λέοντος ἱστορία ἐστὶν αὕτη. λέων ζῷον ἄγριον ἦν ἐν τῇ Νεμέᾳ· χώρα δὲ αὕτη τῆς Πελοποννήσου· οὗτος οὖν ὁ λέων ἐλυμαίνετο τὰ ἐν τῇ χώρᾳ. Εὐρυσθεὺς οὖν βασιλεύων τῶν Μυκηνῶν, καὶ μισῶν τὸν Ἡρακλέα, πέμπει αὐτὸν ἐπὶ τὸ ἀνελεῖν τὸν λέοντα· καὶ νῦν ἐστιν ὁ λέων ἐν ἄστροις. ἡ δὲ περὶ τοῦ Ὀφιούχου ἐστὶν αὕτη· λέγεται εἶναι τοῦτον ὁ Ὀφιοῦχος ὁ Ἀσκληπιὸς, ὁ ἔφορος τῆς ἰατρικῆς. σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω· λέγεται γὰρ ἀποδύεσθαι τὸ γῆρας ὁ ὄφις καὶ ἀνανεοῦσθαι. ἐπεὶ οὖν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνενεοῦ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν μετὰ τοῦ δράκοντος. θέλοντες οὖν οἱ θεοὶ ἀντὶ ἀγάλματος αὐτὸν ἀνιερῶσαι, διὰ ἀστέρων αὐτὸν ἀνιέρωσαν ἐν τῷ οὐρανῷ.

ς. Περὶ τοῦ Σαλμωνέως

Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱός, βασιλεὺς δὲ Θετταλῶν. οὗτος ἀσεβὴς, φησιν, εἰς θεοὺς γενόμενος, προσάπτων ἅρματι βύρσας ξηράς τε καὶ σκληράς, καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν, ἤχους ἀπετέλει· μετὰ χεῖράς τε βαστάζων καιομένας λαμ-

πάδας

παῖδας ἐμεγαλαύχει, καθάπερ ὁ Ζεὺς. βρονταν τε καὶ ἀστράπτειν, ἕως ὑπὸ Διὸς κεραυνωθεὶς ἀνῃρέθη. καὶ κατέλιπε θυγατέρα ἀφήλικα ὀνόματι Τυρώ. αὕτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου θείου πρὸς πατρὸς Κηθέως, ἠράσθη τοῦ ἐγχωρείου ποταμοῦ Ἐνιπέως. τούτῳ δὲ τῷ ποταμῷ ὁμοιωθεὶς ὁ Ποσειδῶν συνεγίνετο τῇ Τυροῖ, καὶ συνέλαβε τὸν Νηλέα καὶ τὸν Πελίαν ἔγκυος δὲ οὖσα ἐγαμήθη ὑπὸ Κρηθέως, καὶ ὕστερον ἔτεκεν ἡ Τυρώ, ὡς μὲν δοκεῖν ἐκ Κρηθέως, τῇ δὲ ἀληθείᾳ ἐκ Ποσειδῶνος· ὕστερον δὲ καὶ ἐξ αὐτοῦ Κρηθέως ἔσχε παῖδα ἡ Τυρώ.

Δαρεῖος, ὁ Περσῶν βασιλεὺς, πολιορκῶν τὴν Βαβυλῶνα ἐπὶ χρόνον πολὺν, καὶ δυσαπορηθέντος οὔσης αὐτῆς, καὶ ἀφάλλοντος ἐπὶ πολὺν καιρὸν, Ζώπυρός τις ἀνδρεῖος τὴν ψυχὴν (ὡς ἔδειξε τὸ πρᾶγμα) καὶ οὐκ ἄδοξος παρὰ τῷ Δαρείῳ, μηχανᾶταί τι τοιοῦτον. κόψας ἑαυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα, καὶ μάστιξιν ἑαυτὸν καταξάνας, δῆθεν, αὐτόμολος πρὸς τοὺς Βαβυλωνίους, ὡς δεινὰ πεπονθὼς παρὰ τοῦ Δαρείου. εἶτα ἀπελθὼν, προσποιεῖται εὐνοεῖν τοῖς Βαβυλωνίοις, καὶ ὑποτίθεται αὖθις τινα κατὰ τοῦ Δαρείου. καὶ ἁπλῶς πίστιν ἐνέβαλε τοῖς Βαβυλωνίοις, στρατηγήσας ὑπὲρ Βαβυλωνίων, καὶ ἀνελὼν πολλοὺς τοῦ Δαρείου. συνθεὶς δὲ σύνθημα μετὰ Δαρείου ἡμέραν ὡρισμένην, ἐν ᾗ δεῖ αὐτὸν προσβάλλειν τῇ Βαβυλῶνι, ἐν ταύτῃ πείθει τοὺς Βαβυλωνίους λαβεῖν τὰς κλεῖς τῶν πυλῶν. εἶτα λαβὼν, ἤνοιξε, καὶ εἰσήγαγε τοὺς Πέρσας· καὶ οὕτως ἐχειρώθη ἡ Βαβυλών. ταῦτα Ἡρόδοτός φησιν ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν. γ. Περὶ τοῦ Ζωπύρου.

Δαρεῖος ὁ μικρὸς, ὁ υἱὸς Ξέρξου, γεννᾷ ἐκ τῆς Παρυσάτιδος δύο υἱοὺς, Κῦρον καὶ Ἀρταξέρξην. ἀποθανόντος δὲ τοῦ Δαρείου, ἠμφισβήτουν οἱ δύο περὶ τῆς βασιλείας. καὶ τὸν μὲν Ἀρταξέρξην, ὡς πρεσβύτερον, ἦγεν ὁ χρόνος ἐπὶ τὸ βασιλεῦσαι· τὸν δὲ Κῦρον, ὡς νεώτερον καὶ φιλούμενον, ἡ μήτηρ προεβάλλετο. ἐπικρατεῖ δὲ ὁ Ἀρταξέρξης διὰ τὸν χρόνον, καὶ βασιλεύει. ὁ οὖν δ. Περὶ τοῦ Κύρου τοῦ Παρυσάτιδος.

Κῦρος μὴ θέλων ὑπείκειν τῷ Ἀρταξέρξῃ, αὐτοῦ τ' ἴδιον ἀδελφὸν διώξας αὐτῷ τὴν τῆς Ἀσίας σατραπείαν, δι' ἐπιτροχότητα καὶ λαβὼν κατῆλθεν ἐπὶ τὴν Ἰωνίαν· κἀκεῖσε καθεζόμενος, εἰς ἔννοιαν ἐλθὼν πάλιν τῆς βασιλείας, καὶ πείσας Λακεδαιμονίων ἄνδρας τινὰς, καὶ ἄλλους Ἕλληνας, ὡς μισθίους, συνακολουθεῖν αὐτῷ. τούτων οὖν συνακολουθούντων ἀνῆλθεν ἕως Περσίδος· καὶ συμβολῆς γενομένης μεταξὺ τοῦ Ἀρταξέρξου καὶ τοῦ Κύρου, νικῶσιν οἱ τοῦ Κύρου, καὶ ταῦτα ὄντες πολὺ ἐλάχιστοι παρὰ τὴν Ἀρταξέρξου στρατείαν. οἱ γὰρ Ἕλληνες ᾔδεισαν καλῶς παρατάττεσθαι· καὶ ὀλίγοι ὄντες τέχνῃ ἐνίκων τοὺς πολλούς. ὁ γοῦν Κῦρος ἐπαρθεὶς τῇ νίκῃ, ἐφορμᾷ ἀπὸ τῆς αὐτοῦ φάλαγγος ἐπὶ τὴν φάλαγγα τοῦ Ἀρταξέρξου, ὡς δῆθεν αὐτὸν τὸν Ἀρταξέρξην κατασφάξων, καὶ διαφθείρεται μόνος ὤν· καὶ οὕτω τελευτᾷ μὴ βασιλεύσας. ταῦτα λέγει ὁ Ξενοφῶν ἐν τοῖς Ἑλληνικοῖς.

ε. Περὶ τοῦ Ἱστιαίου.

Ἱστιαῖος Σάμιος μὲν ἦν τὸ γένος· φίλος δὲ γενόμενος Δαρείου τοῦ Περσῶν βασιλέως, ἐλήφθη ὑπ' αὐτοῦ ἐν Περσίδι. ἐκεῖ δὲ διατριβόμενος, ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα. μὴ ἀπολυόμενος δέ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετῆσαι ἀποστασίαν. καὶ πείθει δὲ καί τινας τῶν Ἰώνων συναποστῆναι. γράφει δέ, ὡς μὴ φωραθῆναι, τὸν τρόπον τοῦτον· λαβὼν πιστὸν οἰκέτην, καὶ τούτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὃ ἐβούλετο δηλῶσαι. εἶτα μέχρι ἔκαυσε τῷ μαχαίρᾳ τὴν χάραξιν, καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας. καὶ μετὰ τὸ κομᾶσαι αὐτόν, ἀποπέμπει λέγων τῷ οἰκέτῃ πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα γνῷ Ἀρισταγόρας τὰ γράμματα· ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας, καὶ μαθών, ἐποίησε τὴν ἀποστασίαν σχεδὸν πάντων τῶν Ἰώνων. εἶτα μανθάνει ἐν Περσίδι ὁ βασιλεύς, καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ, ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρὰ τοῦ Ἱστιαίου αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. ἐλθὼν οὖν ὁ Ἱστιαῖος ἐν τῇ Ἀσίᾳ, καὶ ὡς ὕποπτος γενόμενος

νόμενος ὅλου τοῦ πράγματος, παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σάρδεων ἤκουσε ταῦτα. τοῦτο τὸ ὑπόδημα ἔρραψε μὲν Ἱστιαῖος, ὑπεδήσατο δὲ Ἀρισταγόρας. ὑπόδημα δὲ τὴν ὅλην κατασκευὴν ἔλεγε. ταῦτα ὁ Ἡρόδοτος λέγει ἐν τῇ ἕκτῃ τῶν ἱστοριῶν.

ς. Περὶ τῶν ἑκατοντάχειρων.

Ὅτι γεγόνασι δύο τινὲς ὁ Κότος καὶ ὁ Βριάρεως ἔχοντες ἑκατὸν χεῖρας· καὶ οὗτοι μετὰ τῶν Θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας.

ζ. Περὶ τῆς ἀμπώτιδος.

Ἄμπωτις, ὡς ἤδη ἡμῖν εἴρηται, ἐναντία ἐστὶ τῇ ῥαχίᾳ. ταῦτα δὲ πάθη ἐστὶ θαλάσσης στενῆς περικλειομένης ἢ ὑπὸ νήσων, ἢ ὑπὸ γαιῶν. ἄμπωτις δέ ἐστιν οἱονεὶ ἀνάπωτις καὶ ἀναρροφὴ ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς τινας τῆς ὑποκειμένης γῆς, καὶ μετ' ὀλίγον πάλιν ἐκφοιτῶντος. τὸ μὲν οὖν ὑποσταλῆναι τὸ ὕδωρ ἔσω εἰς τὰ κοῖλα τῆς γῆς, λέγεται ἄμπωτις· τὸ δὲ πάλιν ἐκρεῦσαι τοῦτο, καλεῖται ῥαχία. γίνεται δὲ τοῦτο πολλάκις τῆς ἡμέρας, μάλιστα, ἐὰν πνῇ ἄνεμος. πάσχει δὲ τὸ πάθος τοῦτο ὁ Εὔριπος περὶ τὴν Ἑλλάδα. διὸ καὶ Εὔριπος ὠνόμασται οἱονεὶ ὁ εὔτρεπτος καὶ εὐχερῶς περιπίπτων. εἰς τοῦτον λέγεται Ἀριστοτέλης ἑαυτὸν ῥίψαι. εἴρηται δὲ ἡμῖν τοῦτο καὶ ἐν τῷ α. λόγῳ.

η. Περὶ τῶν Ἠλυσίων πεδίων.

Ὥσπερ ὁ χριστιανικὸς λόγος ὑπογράφει τινὰ εἶναι παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑπογράφουσί τινα χώραν, ὃν καλοῦσι Μακάρων νήσους. καλοῦσι δὲ αὐτὸν καὶ Ἠλύσιον πεδίον, παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. ὁ δὲ Ῥαδάμανθυς υἱὸς λέγεται εἶναι τοῦ Διός, ἔχειν δὲ τὴν δικαστικὴν ἀξίαν, καὶ δικάζειν τοὺς ἐν ᾅδου· καὶ τοὺς μὲν ἀξίους κολάσεως πέμπειν παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυριφλεγέθοντα· τοὺς δὲ ἀγαθὰ ἐργασαμένους παρὰ τὰς Μακάρων νήσους.

θ. Περὶ τοῦ Ἑταῖρε, καὶ Προπίνειν.

Ὁ Πλάτων καὶ πάντες οἱ φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων, ἑταίρους καλοῦσιν, οἱονεὶ φίλους. ὁ οὖν Ἰουλιανὸς ὡς φιλοσοφήσας, οὐκ ἀπηυθαδίζετο τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς ἄλλους πάντας καλῶν ἑταίρους, καὶ πολὺ

τοῦτο τὸ ὄνομα ἐν ταῖς συνουσίαις αὐτοῦ ἦν. τὸ δὲ προπίνειν, τοῦτο ἐστὶ πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον ἐν φιάλαις ἢ χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί· ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς. καὶ τότε παρεῖχον ᾧ ἂν ἠβούλοντο, χαριζόμενοι καὶ τὴν κύλικα. καὶ ἐκαλεῖτο μὲν αὐτὸ τοῦτο, προπίνειν· ἡ δὲ ἡμέρα, φιλοτήσια, τὸ δὲ λαρυγγίζειν μίμησίς ἐστι φωνῆς, ὅταν τις ἐπιπρεπόμενος οἷς λέγει ἐπιβοήσει πως τῇ φωνῇ καὶ στενοῖ αὐτήν, ὥστε δοκεῖν ἐν τῷ λάρυγγι αὐτὴν περικατέχεσθαι.

ι. Περὶ τῆς Ἀθηνᾶς καὶ τῶν αὐλῶν.

Ἀθηνᾶ ποτε τοὺς αὐλοὺς λαβοῦσα, παρά τινα πηγὴν ἱσταμένη ηὔλιζε, θεασαμένη δὲ ἐν τῷ ὕδατι τὴν ἑαυτῆς σκιὰν πεφυσημένας ἔχουσαν τὰς γνάθους, καὶ ἀπρεπεῖς ἐκ τούτου φαινομένας, ἔρριψε τοὺς αὐλοὺς, ὡς ἀμορφίας αἰτίους. ἐν γὰρ τῷ αὐλεῖν τὸ πνεῦμα ἐξογκοῖ τὰς γνάθους καὶ ἀμόρφους ποιεῖ τοὺς αὐλοῦντας. τούτους τοὺς ῥιφέντας αὐλοὺς λέγεται Μαρσύας εὑρηκέναι, καὶ ἐρίσαι τῷ Ἀπόλλωνι, καὶ ἡττηθῆναι, καὶ ἐκδαρῆναι παρὰ τὸν ποταμὸν ἐξ οὗ Μαρσύας ὁ ποταμὸς λέγεται.

ια. Περὶ τῶν λίχνων δαιμόνων.

Ὅτι πάντες οἱ δαίμονες κνίσαις χαίροντες λίχνοι εἰσί. μάλιστα δὲ κωμῳδεῖται ὁ Ἑρμῆς· διὸ καὶ λέγεται) * κρέα δήμων Λακρίων. ὡς ἀπατηλοὶ δὲ πάντες οἱ δαίμονες· ἐξαιρέτως δὲ ὁ Ἀπόλλων, ὅτι ἀπατηλοὺς ἔλεγε χρησμούς.

ιβ. Περὶ τοῦ λέβητος μὴ φθεγγομένου.

Ἡ Δωδώνη πόλις ἐστὶν ἐν τῇ Ἠπείρῳ κειμένη. ἐν ταύτῃ ἵσταντο δρῦς ἱεραὶ τοῦ Διός. καὶ ἐν ταύτῃ ἦν τὸ μαντεῖον γυναικῶν οὐσῶν προφητίδων· καὶ εἰσήεσαν οἱ μαντευόμενοι παρὰ τὴν δρῦν, καὶ ἐκινεῖτο δῆθεν ἡ δρῦς· καὶ λοιπὸν ἐφθέγγοντο αἱ γυναῖκες λέγουσαι, ὅτι τάδε προλέγει ὁ Ζεύς. τὸ δὲ περὶ τοῦ λέβητος τοιοῦτόν ἐστιν. ἐν ταύτῃ τῇ Δωδώνῃ λέγεται, ὅτι ἐν ὕψει τινὶ ἵστατο ἀνδριὰς βαστάζων ῥάβδον, καὶ παρ᾽ αὐτὸν λέβης τις ἵστατο. οἱ οὖν μαντευόμενοι, ἤρχοντο παρὰ τὸν τόπον τοῦτον, καὶ ηὔχοντο. ὅτε οὖν ἤθελε χρησμῳδῆσαι αὐτοῖς ὁ Θεός, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ

ῥάβδῳ

ῥάβδῳ τὸν λέβητα· εἶτα, ἤχει ὁ λέβης, καὶ ἐκ τοῦ λέβητος ἦχός τις ἀπετελεῖτο ἐναρμόνιος, καὶ ἐνεφορεῖτο αἱ προφήτιδες, καὶ ἔλεγον ἃ αὐταῖς ὁ δαίμων ἐνέβαλλε. ιγ.

Περὶ τῆς Πυθίας.

Φωκὶς χώρα ἐστὶν ἐν τῇ Ἑλλάδι. ἐν ταύτῃ ἐστὶ πόλις καλουμένη Δελφοί· ἐν ταύτῃ ἐστὶν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθώ. ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους, καὶ αἱ ψῆφοι αἱ μαντικαί. καὶ αἱ μὲν μαντικαὶ ψῆφοι ἦσαν ἐν τῇ φιάλῃ τοῦ τρίποδος. ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἥλλοντο καὶ ἐκινοῦντο ἐν τῇ φιάλῃ. τότε οὖν ἡ ἐνεφορεῖτο καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων. ἐκαλεῖτο δὲ ἡ προφῆτις Πυθία. ταύτην πληροῦσθαι εἶπεν ἐνταῦθα καὶ ἐμφορεῖσθαι καὶ ἐνθουσιᾶσθαι. ιδ.

Περὶ τῆς Κασταλίας.

Πηγὴ ἦν ἐν Δάφνῃ τῇ κατὰ Ἀντιόχειαν, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα προεδρεύειν, καὶ μαντείας καὶ χρησμοὺς τοῖς ἐρχομένοις, περὶ τὸ ὕδωρ λέγεσθαι. λέγεται δὲ ὅτι, ἡνίκα ἐμαντεύετό τις ἐν τῷ τόπῳ τούτῳ αὔρας τινὰς καὶ πνοὰς τὸ ὕδωρ ἀνεδίδου, καὶ ἀναδιδομένων τῶν τοιούτων πνευμάτων, οἱ ἱερεῖς τῶν περὶ τὴν πηγὴν ἐνθουσιάντες ἔλεγον, ἃ ἤθελεν ὁ δαίμων. ιε.

Περὶ τοῦ Ἀπόλλωνος ἀφώνου.

Περὶ τούτου τοίνυν τοῦ ἀνδριάντος ποῦ τε ἵστατο καὶ πῶς ἐφθέγγετο, ἡμεῖς οὐχ ἱστορήσαμεν. δεῖ δὲ νομίζειν εἶναι τὸν ἀνδριάντα ἐν Δελφοῖς, καὶ αὐτὸν φωνὴν ἄναρθρον ἀποπέμποντα. εἰδέναι γὰρ χρὴ ὅτι αἱ τῶν δαιμόνων φωναὶ ἄναρθροι. εἰσὶ διὰ τὸ μὴ ἔχειν ὄργανα φωνητικά, ὅπως διατυπώσωσι τὴν ἐξεργασμένην φωνήν. ις.

Περὶ τῆς Δάφνης.

Δάφνη, φησί, κόρη ὑπῆρχεν ἐκ Λάδωνος τοῦ ποταμοῦ καὶ τῆς γῆς τὴν γένεσιν εὐτυχήσασα. αὕτη, φησί, περικαλλής τε οὖσα τῷ εἴδει, καὶ ὡραϊζομένη ταῖς ὄψεσι, εἰς ἔρωτα ἐκίνησε τὸν Ἀπόλλωνα· ὁ δὲ Ἀπόλλων κινούμενος ἐκ τοῦ ἔρωτος, ἐπεδίωκε τὴν Δάφνην, εἴ πως ἰσχύσει συγγενέσθαι αὐτῇ. ἡ οὖν κόρη τὴν παρθενίαν ἐθέλουσα φυλάξαι, τῇ οἰκείᾳ μητρὶ τῇ γῇ προσηύξατο βοηθῆσαι αὐτῇ. ἡ δὲ γῆ διανοίξασα τοὺς ἑαυτῆς κόλπους ἐδέξατο τὴν παῖδα· καὶ ψυχαγωγῆσαι θέλουσα τὸν θεόν, φυτὸν ἀνῆκεν ὁ-

μόνιμον τῇ κόρῃ ὅπερ λαβὼν ὁ Ἀπόλλων, στέφεται· τὸν δὲ τρίποδα ψυχαγωγούμενος ἀντὶ τῆς ἠρωμένης τῷ φυτῷ τῆς Δάφνης.

ιη. Περὶ Διονύσου ἀνδρογύνου.

Τὸν Διόνυσον λέγουσι καὶ τοὺς ἄνδρας ποιεῖν, καὶ τὰς γυναῖκας πάσχειν· καὶ τὰς Βάκχας περὶ αὐτὸν μαινάδας γινομένας ἐκβακχεύειν, καὶ τοὺς Σατύρους καὶ τοὺς Σειληνοὺς ἐξορχουμένους περὶ αὐτόν. Εἴπομεν δὲ πολλάκις ὅτι αὐτὸν λέγουσιν εἶναι τοῦ οἴνου δημιουργὸν καὶ ἔφορον· καὶ ὅτι διέδωκε καὶ ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι, καὶ ἔπιον, καὶ ἐμεθύσθησαν, καὶ μεθυσθέντες μετὰ τῶν γυναικῶν χορεύουσι περὶ αὐτόν. τοὺς δὲ Σατύρους λέγουσιν εἶναι ποιμένας· ἄλλοι δὲ θείους τινὰς δαίμονας περὶ τὸν Διόνυσον. περὶ δὲ τοῦ φαλλοῦ ἤδη εἰρήκαμεν ἐν τῷ πρώτῳ λόγῳ, ὅτι ἀκάθαρτόν τι τὸ αἰδοῖον ἔχων αἴσχρον, τῷ ὁμοιοῦσί τινα τὸν μῖμοι δερμάτινον, ὃ καλοῦσι φαλληταῖον· καὶ τοῦτο ἔχουσιν ἐν τοῖς Διονυσίοις, φοροῦντες ἐν παιγνίοις καὶ ἑορτάζουσιν, ἐν ᾧ τότε ἐτέλουν ἐκεῖνοι.

ιθ. Περὶ Σεμέλης.

Σεμέλη Κάδμου ἦν θυγάτηρ. ταύτης ἠράσθη ὁ Ζεὺς καὶ συγγίνεται αὐτῇ· ἡ καὶ συλλαβοῦσα εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον· ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύει αὐτῇ τῇ Σεμέλῃ ἐκείνῃ οὔσῃ ὅτι, αἴτησαι τὸν Δία συγγενέσθαι σοι ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. συνεγίνετο δὲ ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. ταῦτα δὲ συνεβούλευεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα ἐρχομένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτὴν, ὡς θνητὴ καταφλεχθήσεται, καὶ μηκέτι ἔχοι τὴν ἀντίζηλον, ὃ δὴ καὶ γέγονε. τοῦ γὰρ Διὸς ἐλθόντος πάλιν πρὸς τὴν Σεμέλην, ᾔτησεν ἡ Σεμέλη οὕτως αὐτῇ συγγενέσθαι, ὡς τῇ Ἥρᾳ καὶ ὡς συνεγένετο αὐτῇ, κεραυνοῦται καὶ ἀπόλλυται ἡ Σεμέλη. καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον ὄντα, ἔρραψεν ἐν τῷ ἑαυτοῦ μηρῷ· καὶ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς διαπτύσσει τὸν μηρὸν τοῦ Διὸς, καὶ γίνεται, ὥς φασιν, ὁ Διόνυσος. καὶ λαμβάνει αὐτὸν εἰς Νύσαν τῆς Θράκης, κἀκεῖ παρὰ ταῖς νύμφαις γαλακτοτρέφεται.

κ. Περὶ τοῦ Ἡφαίστου.

Χωλὸς ἦν ὁ Ἥφαιστος, δίσ καὶ ἀμφιγυής. γυῖα γὰρ τὰ μέλη.

ἦν

